εἶναι μὲν, ὅτι οὐκ ἀεὶ μὴ ὂν ἔστι. μὴ εἶναι δὲ, ὅτι οὐκ ἀεὶ ὄν. ἡ γὰρ ἐναντίου ἀπόφασις τὸ ἀεὶ ἀναιροῦσα τὸ εἶναι καὶ μὴ εἶναι, καὶ εἰ μὴ ἀεὶ, ἀλλὰ ποτὲ μὲν ὑπάρχειν ποτὲ δὲ μὴ ὑπάρχειν συγχωρεῖ. διὸ καὶ τὸ ἀεὶ μὴ εἶναι ἀναιρεῖ. ὥστε καὶ τὸ μὴ ἀεὶ μὴ ὄν, καὶ τὸ μὴ ἀεὶ ὄν, ἔσται ποτὲ καὶ οὐκ ἔσται. τὰ δὲ τοιαῦτα γενητά τε ἔστι καὶ φθαρτά. οἷς τισὶ τὸ μὲν ποτὲ ὑπάρχειν ἢ τὸ ἀεὶ μὴ ὑπάρχειν ἀπόφασις δίδωσι. τὸ δὲ ποτὲ μὲν μὴ ὑπάρχειν ἢ ἀπόφασις τοῦ ἀεὶ ὑπάρχειν. καὶ ἔστι μέσον τῆς φύσεως τὸ τοιοῦτον, τὸ ποτὲ μὲν ὄν. ποτὲ δὲ μὴ ὄν, τοῦ ἀεὶ ὄντος καὶ τοῦ ἀεὶ μὴ ὄντος, ὡς αὐτὸ ποτὲ τοῦ μὴ εἶναι μετέχον. αἱ γὰρ ἀποφάσεις τὸ ἀεὶ ἀναιροῦσαι, τὸ ποτὲ καταλείπουσιν. οὐ ἔστι δὲ φησιν, ὅτι πᾶν καθ' οὗ αἱ τῶν ἐναντίων ἀποφάσεις ἀληθεύουσι, τοῦτο μέσον ἐστὶ τῶν ἐναντίων. οὐ γάρ ἐστι τοῦτο καθόλου ἀληθές. οὔτε γὰρ τῶν ἀμέσων ἐναντίων ἔστι τι μεταξὺ εἰ καὶ ἔστι τι καὶ ἐκείνοις, καθ' οὗ θατέρου τῶν ἐναντίων αἱ ἀποφάσεις ἀληθεύουσι. τὸ γὰρ νοσεῖν καὶ ὑγιαίνειν. καὶ τὸ αὐτίον καὶ τοδὶ τι ὄν, ἐναντία ἄμεσα δοκεῖ. καὶ οὐκ ἔστι μέσον μεταξὺ τοῦ νοσεῖν, καὶ ὑγιαίνειν, ἔστι γέ μήν τι καθ' οὗ ἀληθεύοι αὖ τὸ μὴ νοσεῖν καὶ τὸ μὴ ὑγιαίνειν. ἐν γὰρ τῷ ξύλῳ ἄμφω ἀληθῆ. ἀλλ' οὐ δὲ τοῦ τοδὶ τοῦ καὶ αὐτίου τὸ μήτε τοδὶ τὸν μήτε αὐτίον, κατά τινος μέσου λέγοιτ' ἄν. κατά γε μὴν τὸ συνεχοῦς ποσοῦ ἀληθεύουσιν. ἔστι δὲ ἄξιον ζητήσεως, εἰ ἔστιν ὅλως ἄμεσα ἐναντία. ὅτι μὲν γὰρ ὑγίεια καὶ νόσος οὐκ ἔστιν ἄμεσα, δηλοῖ τὰ παρὰ τοῖς ἰατροῖς λεγόμενα τοδὶ τῆς οὐδετεράσ συστάσεως. ὅτι δὲ καὶ τὸ αὐτίον καὶ τοδὶ τοῦ μεσότητος ἔστι, δηλοῖ τὸ αὐτιοπερίττον, καὶ τοδὶ ἀναυτίον. καὶ καθόλου δὲ ἐναντία ἔστι τὰ κατὰ τὸ αὐτὸ γένει τελείου ἀλλήλων ἀπέχοντα. ἐν δὲ τοῖς τελείοις ἀλλήλων ἀπέχουσιν εἴη ἂν καὶ τὰ ἔλαττον ἔχοντα διάστημα. ὥστε οὐκ ἂν εἶεν ἄμεσα. ἀλλ' οὐ δὲ ἐν τοῖς ἐμμέσοις ἐναντίοις ἀληθὲς, τὸ καθ' οὗ αἱ τῶν ἐναντίων ἀποφάσεις ἀληθεύουσι, μέσον εἶναι τῶν ἐναντίων. κατὰ γὰρ τὸ σημείου ἀληθὴς ἡ τοῦ λευκοῦ καὶ μέλανος ἀπόφασις. καὶ οὐκ ἔστι μεταξὺ τοῦ λευκοῦ καὶ μέλανος τὸ σημεῖον. ἀληθεύει μὲν γὰρ καὶ ἐν τοῖς ἐμμέσοις ἐναντίοις ἑκατέρου τῶν ἐναντίων ἡ ἀπόφασις ἢ κατὰ τὸ μεταξύ. οὐμὲν δὲ καὶ καθ' ὧν ἁπάντων ἀληθεύει ταῦτα μεταξύ ἐστιν. οὐθ' ὁ ἀριστοτέλης τοῦτό φησιν ὡς καθόλου ὄν. ἀλλὰ τὰς μὲν τῶν ἐναντίων ἀποφάσεις κατὰ τὸ αὐτὸ ἀληθεύειν, ὡς καθόλου ὂν ἔθηκεν. τὸ δὲ καθ' οὗ ἀμφοῖν τῶν ἐναντίων αἱ ἀποφάσεις ἀληθεῖς εἶεν, εἶναι μέσον, ἐξ ὁχῶς τοῦτο συμβαίνει. καθ' οὗ αἱ τοῦ ἀεὶ ὄντος καὶ τοῦ ἀεὶ μὴ ὄντος ἀποφάσεις ἀληθεύουσι. καὶ τὸ αὖτον αὐτὸς προσέθηκεν εἰπών, ἢ γὰρ ἑκατέρου ἀπόφασις ποτὲ ὑπάρξει, εἰ μὴ ἀεί. τὸ γὰρ ἀεὶ ἀναιροῦσαι ἄμφω. τὸ ποτὲ καταλείπουσιν, τῷ μὲν τὸ ποτὲ εἶναι, τῷ δὲ τὸ ποτὲ μὴ εἶναι, ἐν οἷς οὖν αἱ τῶν ἐναντίων ἀποφάσεις οὕτως εἰσὶν ἀληθεῖς, ὡς ὁπωσοῦν μετέχειν αὐτὰς τῶν ἐναντίων, ταῦτα μεταξὺ τῶν ἐναντίων ἐστίν. οὐχ ἁπλῶς πάντα. καθ' ὧν αἱ ἀποφάσεις ἀληθεῖς. ζητεῖ δὲ ὁ ἀλέξανδρος. πῶς ἐναντία τὸ ἀεὶ ὂν καὶ τὸ ἀεὶ μὴ ὄν. τί γὰρ ἂν εἴη γένος αὐτῶν κοινόν. καὶ φησὶν ὅτι οὐ συγχωρεῖται τὰ ἐναντία ἀλλήλοις πάντα κατὰ τὸ αὐτὸ γένει εἶναι. ἀλλὰ τὰ μὲν ἁπλῶς καὶ κυρίως ἐναντία. τοιαῦτα δή που ἔσται. ταῦτα δ' ἐστὶ τὰ αὖθυ συμπλοκῆς λεγόμενα. οἷον τὸ λευκὸν καὶ τὸ μέλαν. τὰ δὲ αὖθυ συμπλοκῆς οὐκέτι. ἄλλη γὰρ ἡ ἐν ταῖς προτάσεσιν ἐναντιότης. ὡς οὖν συγχωρεῖται ἐναντία εἶναι τὰς προτάσεις ταύτας, δηλονότι. πῶς ἐξ ἀνάγκης εἶναι. πῶς δὲ ἀνάγκη; μὴ εἶναι, εἰ καὶ μηδὲν ἔχουσι κοινὸν γένος, οὕτω καὶ ἡ ἀεὶ ἐστὶ καὶ ἡ ἀεὶ μή ἐστιν, ἐναντίαι ἀλλήλαις εἰσίν. ἱκανὸν ἀμοῦσαι ἐκείνας. ἡ μὲν γὰρ ἀεὶ ἐστίν. ἴσον τῇ ἐξ ἀνάγκης ἐστίν. ἡ δὲ ἀεὶ οὐκ ἔστιν. ἴσον τῇ ἐξ ἀνάγκης οὐκ ἔστιν. οὐκ ἔστι δὲ φησι καὶ τούτων κοινὸν γένος λέγειν πρότασιν ἢ ἔτι μᾶλλον κατάφασιν. ἔστιν τοίνυν φησί. καθ' οὗ ἀμφοῖν αἱ ἀποφάσεις ἀληθεύουσιν, ἔσαί ποτε καὶ οὐκ ἔσται. ἡ αὐτὴ αἰτία φύσεως ἔσται ἀμφοῖν δεκτική, δηλονότι τὸ δυνάσθαι εἶναι καὶ μὴ εἶναι. τὰ δὲ τοιαῦτα ἔτι φθαρτὰ καὶ γενητά. φθαρτὸν μὲν γάρ ἐστι τὸ δυνάμενον μὴ εἶναι. γενητὸν δὲ τὸ δυνάμενον εἶναι. ταυτὸν δὲ αἰτία γενητὸν καὶ φθαρτόν. εἴπερ τοῦτόν ἐστι τὸ δυνάμενον εἶναι καὶ μὴ ὡς ἀριστοτέλη φησίν. εἰ καὶ τὸ μὲν γενητὸν ἔχει κατὰ τὸ δύνασθαι εἶναι. τὸ δὲ φθαρτὸν κατὰ τὸ δύνασθαι μὴ εἶναι. ὅθεν καὶ ταυτὸν οὐ. μεταξὺ τῶν ἐναντίων ἐστί, δηλονότι τὸ εἶναι καὶ μὴ εἶναι δυνάμενον. ὥστε καὶ αὐτισρέφοι αὖ πρὸς ἄλληλα τὸ γενητὸν καὶ φθαρτόν. ὅτι δὲ τὸ καθ' οὗ θατέρου τῶν ἐναντίων ἡ ἀπόφασις ἀληθὴς, κατὰ τούτου καὶ ἡ θατέρου, καὶ ὅτι καθόλου λόγος ἐστὶν ὁ τοιοῦτος, ὥσπερ ἐώθει ἐν ταῖς καθόλου ἀποδείξεσιν, δείκνυσιν προδιορισαμένου ὅτι καθόλου ὁ λόγος. τίθησι δὲ τὸ α καὶ β ὡς ἐναντία. ἐναντία γὰρ τὰ μηδενὶ τῷ αὐτῷ δυνάμενα ὑπάρχειν. ἔπειτα ἑκατέρου τῆς ἀποφάσεως τεθείσης, τοῦ μὲν α τῆς γ. τοῦ δὲ β τῆς δ, δύο ἐποίησεν ἀντιφάσεις. ἃς τινα ἐδήλωσε δι' τούτου. ἅπαντι γὰρ τὸ α ἢ γ. καὶ τὸ β ἢ τὸ δ. ἔστιν γὰρ τῆς ἀντιφάσεως ἴδιον. εἰ τοίνυν αἱ μὲν ἐναντίαι κατάφασεις αἱ α. β. αἱ δὲ ἀντικείμεναι αὐταῖς κατὰ ἀντίφασιν ἀποφάσεις, αἱ γ. δ, ἀνάγκη ὧ τινι οὗτε τὸ α ὑπάρχει οὔτε τὸ β, τούτῳ παντὶ ὑπάρχειν τὸ γ. δ. εἴπερ παντὶ ἢ πῶ κατάφασιν ἢ πῶ ἀπόφασιν

ὑπάρχει ἀνάγκη, τῇ θέσεων ἀντικειμένων ἀλλήλαις ἀντιφατικῶς. λαβὼν δὲ τὸ ε̄, ᾧ τινι τὸ α̅ καὶ τὸ β̅ οὐχ ὑπάρχει, τούτῳ φησὶν ἐξ ἀνάγκης τὸ γ̅ καὶ τὸ δ̅ ὑπάρχειν. εἰ πόντος δὲ τὸ ε̄ εἶναι μεταξὺ τῆς α̅. β̅, καὶ προσθέντος, τῇ συναντίων γὰρ τὸ μηδέτερον μέσον, ταῦτά φησιν ὁ ἀλέξανδρος οὕτως ἁπλῶς εἰρημένα οὐκ ἔστιν ἀληθῆ. οὐ γὰρ ἀνάγκη μέσον εἶναι, καθ' οὗ ἀμφοῖν τῇ συναντίων αἱ ἀποφάσεις ἀληθεύουσιν. ὡς δέδεικται. ἀλλ' ἴσως φησὶν οὐ κυρίως τὸ μέσον νῦν ἔλαβεν. ἀλλὰ κοινότερον μεταξὺ συναμφότερα φησὶ τῇ συναντίων, καθ' οὗ ἀμφοῖν αἱ ἀποφάσεις ἀληθεύουσι, καθ' ὃ οὐδετέρῳ αὐτῇ ταυτὸν ἔστι. καὶ δυνατόν φησι μᾶλλον ἐλλειπῶς εἰρῆσθαι μέσον, ἢ τὸ μηδέτερον ἐκείνων ὄν. τὸ γὰρ μὴ νοούμενον μὴ ὂν ἐκεῖνα, ἔχον δέ τι ἐκείνων, τοιοῦτόν ἐστιν. τοιαῦτα δὲ τὰ ὧδε ὧν ὁ λόγος. τὸ γὰρ μήτε ἀεὶ ὄν, μήτε ἀεὶ μὴ ὄν, ἀμφοῖν κατά τι μετέχει, δηλονότι τοῦ ἀεὶ ὄντος, καὶ τοῦ ἀεὶ μὴ ὄντος, τοῦ μὲν κατὰ τὸ ποτὲ εἶναι, τοῦ δὲ κατὰ τὸ ποτὲ μὴ εἶναι. ὅτι δὲ κατὰ ταύτην τὴν σύνοιαν τὸ μέσον ἔλαβεν ὁ ἀριστοτέλης, ὡς κατά τι μετέχον ἀμφοῖν, ἐσήμανε πρότερον εἰπών, τὸ αὐτὸ αὖρα ἔσται τὸ δυνατὸν εἶναι καὶ μή, καὶ τοῦτ' ἔστιν ἀμφοῖν μέσον. καὶ ἔτι μᾶλλον σὺν τοῖς πρὸ τούτου τὸ αὐτὸ ἐμφαίνεται. προσθέμενος δὲ δεῖξαι τὸ ἀεὶ ὂν μήτε γενητὸν μήτε φθαρτὸν εἶναι, καὶ δειχθέντος ὅτι αἱ ἀποφάσεις τοῦ ἀεὶ ὄντος καὶ τοῦ ἀεὶ μὴ ὄντος ἀληθεύουσι κατὰ τὸ γενητὸν καὶ φθαρτὸν τοῦ αὐτοῦ ὑπάρχοντος, εἰκότως συμπεραίνων προσέθηκεν, οὔτε δὴ τὸ ἀεὶ ὂν γενητὸν οὔτε φθαρτόν, οὔτε τὸ ἀεὶ μὴ ὄν. εἰσῆρ τῆς αὐτιφάσεως τεθείσης, ἡ ἀπόφασις τοῦ ἀεὶ εἶναι. ἡ μὴ ἀεὶ εἶναι ὑπάρχει τῷ γενητῷ καὶ φθαρτῷ. ὡς οὐ μὴ σωαληθεύσῃ ἡ αὐτιφάσις κατὰ τὸ αὐτὸ γενητὸν καὶ φθαρτόν, τῆς τε κατα φάσεως ἀληθευούσης τῆς ἀεὶ εἶναι λεγούσης καθ' ὑπόθεσιν, καὶ τῆς ἀποφάσεως τῆς μὴ ἀεὶ εἶναι λεγούσης. δεῖ δὲ δεῖν τὰς ἀποφάσεις τῇ συναντίων κατὰ τὸ αὐτὸ ἀληθεύειν. σύνδυσιν οὖν φανερὰ γέγονεν ἡ χρεία τῆς προσλήψεως τοῦ συναντίου, δηλονότι τοῦ ἀεὶ μὴ εἶναι. οὐ γὰρ προύθετό τι περὶ τούτου ζητεῖν. ἀλλ' ὡς τοῦ γενητοῦ καὶ τοῦ φθαρτοῦ διῃρεθέντος, ὅπερ ἔστι μεταξὺ τοῦ ἀεὶ ὄντος καὶ ἀεὶ μὴ ὄντος, ἐκ τῆς ἀποφάσεων ἀληθευουσῶν κατ' αὐτό, δέδεικται διαρρήδην ὅτι ἀδυνάτον τὸ ἀεὶ ὂν καὶ ἀεὶ μὴ ὂν ἅμα γενητὸν ἢ φθαρτὸν εἶναι.

Δ ΗΛΟΝ δ' ὅτι καὶ τὸ γενητὸν ἢ φθαρτόν. οὐκ ἀϊδιον. ἅμα γὰρ ἔσται δυνάμενον ἀεὶ εἶναι. καὶ δυνάμενον μὴ ἀεὶ εἶναι. τοῦτ' ἔστιν δ' ὅτι ἀδυνάτον δέδεικται πρότερον.

Δ εἰχθέντος ὅτι τὸ ἀεὶ ὂν οὔτε γενητὸν οὔτε φθαρτόν ἐστιν, δείκνυσιν ἐπομένως, ὅτι προσήκει τούτῳ τὸ μήτε τὸ γενητὸν μήτε τὸ φθαρτὸν ἀϊδιον εἶναι. εἰ γάρ ὑποτεθείη φησὶν ἀϊδιον τὸ γενητὸν ἢ τὸ φθαρτόν, ἅμα ἔσται τὸ αὐτὸ δυνατὸν εἶναι καὶ μὴ εἶναι, ὡς ὁ ἀλέξανδρός φησι. τὸ δὲ γε ἀεὶ ὄν, ἀεὶ ἔστι. καὶ οὐκ ἔχει δυνάμεν τοῦ ποτὲ μὴ εἶναι. εἰ τοίνυν ληφθείη δυνατὸν μὴ εἶναι τὸ ὄν, οὐκ ἔσται μὲν διὰ τὴν ὑπόθεσιν. ἔσται δὲ διότι ἀϊδιον ἦν. καὶ φθορᾶς μὲν ἡ ὑπόθεσις ἡ λαμβάνουσα δυνατὸν μὴ εἶναι τὸ ὄν. οὐμενοῦν ἀδυνάτου. ἀδυνάτου δὲ τὸ συμπεραινόμενον, εἰ δηλονότι τὸ αὐτὸ ἅμα ὂν εἴη μὴ ὂν εἶναι. οὐ παρὰ τὴν ὑπόθεσιν αὖρα, ἀλλὰ παρὰ τὸ ληφθὲν δηλονότι τὸ τὸ γενητὸν ἀϊδιον εἶναι. οὕτω μὲν ὁ ἀλέξανδρος, πρὸς τὸ δυνατὸν μὴ εἶναι προσχὼν ὡς οἶμαι. εἰ δὲ τὸ δυνατὸν μὴ εἶναι αὐτὸ τοῦτ' ἔστι καὶ μὴ ἔστιν ἔφη, ὡς αὐτὸς πολλάκις ὁ ἀλέξανδρος ὠνόμασεν, διὰ τί μὴ τὸ ἀπολούσδρον λαμβάνομεν, ὅτι δηλονότι τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ποτὲ ἔστι καὶ οὐκ ἔστιν. ἔστι μὲν, διότι ἀεὶ ὂν ὑπόκειται. οὐκ ἔστι δέ, διότι τὸ γενητὸν καὶ τὸ φθαρτὸν ὡσπερ ποτὲ ὄν, οὕτω καὶ ποτὲ μὴ ὄν ἐστι. τὸ γὰρ δυνατὸν μὴ εἶναι οὐχ οὕτως ἔφη ἀριστοτέλης, ὡς σύμβρεγεα μὲν ὂν δυνάμει δὲ μὴ ὄν. ἀλλ' αὐτὸ τοῦτο τεθὲν αὐτὸ, σημαίνον τὸ δυνατὸν εἶναι κατὰ τὸ ἀεὶ ὄντος εἰρῆσθαι. οὐ δὲ γὰρ οὐδ' οὐ τούτῳ τὸ κατὰ σύμβρεγεαν μὲν μὴ ὄν, δυνατὸν δὲ μὴ ὂν σημαίνει. τὸ γὰρ ἀεὶ ὂν σύμβρεγεα οὐκ ἐστιν. ἀλλὰ δυνατὸν νῦν οὐ τὸ δυνάμει φησὶν, ἀλλὰ τὸ δυνάμει ἔχον τῷ σύμβρεγεα συνυπάρχειν. διὸ καὶ εἰς ταυτὸν ἥκει τὸ δυνατὸν εἶναι καὶ δυνατὸν μὴ εἶναι, τῷ εἶναι καὶ μὴ εἶναι. ἐπιζητήσειε δ' ἄν τις ὡς οἶμαι, διατί ὁ ἀριστοτέλης τοσούτους ἀφορτείνει λόγους, τὸ οὕτως σύναρχέσατον δεῖξαι βουλόμενος. τί γὰρ σύναρχέσδρον τοῦ τὸ ἀεὶ ὂν μήτε γενητὸν μήτε φθαρτὸν εἶναι, καὶ τὸ τὸ γενητὸν καὶ φθαρτὸν μὴ ἀεὶ ὂν εἶναι. ἔπδρ γενητὸν καὶ φθαρτόν ἔστι τὸ δυνάμενον ποτὲ μὲν εἶναι ποτὲ δὲ μὴ εἶναι. τί δὲ τῇ ληφθέντων πρὸς τὴν τούτου δεῖξιν οὐκ ἔστιν ἀσαφέσδρον τούτου. πῶς οὖν οὐκ αὖ τις φαίη ἀριστοτέλη τὸ ἀπάντων διδάσκαλον. σὺ τούτοις μάλιστα ἀγωνεῖν τιμὴν ἔστι τὸ καθ' αὑτὸ πιστὸν καὶ ἄμεσον. τί δὲ τὸ μέσου βοηθήματος ἑτέρου χρῄζον. δεύτερον δ' ἄν τις ἐπιζητήσειε. τίνα χρείαν ὅλως αὐτῷ παρέχει ἡ τοῦ συναργοῦς ἀξιώματος δεῖξις. προκείμενον μὲν γὰρ ἦν ἀντειπεῖν τοῖς νομίζουσιν σὺν δέχεσθαι καὶ ἀγενητόν τι ὂν φθείρεσθαι, καὶ γενητὸν ἄφθαρτον διαμένειν, ὡσπερ σὺ τῷ τιμαίῳ. ἔτι δὲ ἀπόχρη ἡ ἀποδοθεῖσα τοῦ γενητοῦ πρὸς τὸ φθαρτὸν ἀντιστροφή, καὶ τοῦ ἀγενήτου πρὸς τὸ ἄφθαρτον. ἃ τινα ἐπομένως νῦν ἀπέδωκεν. ἴσως οὖν ἀντιλέγων πρὸς τοὺς εἰπόντας γενητὸν μὲν ἀφθαρτον δὲ, ἢ ἀγένητον μὲν φθαρτὸν δὲ, δείκνυσιν ὅτι οὐ δυνατὸν ταῦτα συζεύγνυσθαι

ἀλλήλοις. ἀλλ' ὅτι μὲν ἀγένητον καὶ ἄφθαρτον ἀΐδιον δείκνυται, φανερὸν ἐκ δὲ γενητὸν μὴ φθαρτὸν οὐκ ἀΐδιον ἀλλ' ὡρισμένον χρόνον τὸ εἶναι καὶ τὸ μὴ εἶναι ἔχοντα. οὕτω γὰρ ἂν διὰ τοῦ τρόπου σημαινόμενα συμπεραίνεται, διὰ μέσου τοῦ ἀϊδίου, ὅτι οὔτε τὸ ἀγένητον φθαρτὸν, οὔτε τὸ γενητὸν ἄφθαρτον δυνάμει εἶναι. δείκνυσιν οὕτω ὅτι οὐ μόνον τὸ γενητὸν καὶ φθαρτὸν οὐ δυνάμει εἶναι ἀΐδια. ἔστι γὰρ κατὰ ἀλήθειαν φανερὸν ἰδεῖν. ἀλλὰ καὶ τίς ἡ φύσις αὐτῶν, καὶ πῶς ἔχουσι πρὸς τὸ ἀεὶ ὄν. καὶ ὅτι ἔστι μεταξὺ τοῦ ἀεὶ ὄντος καὶ ἀεὶ μὴ ὄντος, ὡς ἀμφοῖν τὸ μέσον μετέχον. καὶ ἐκ τοῦ μεταξὺ τούτου ὅτι ἀκολουθεῖ ἀλλήλοις. ἔστι δὲ αὐτῷ χρήσιμον πρὸς τὸ δεῖξαι, ὅτι τὸ ἀγένητον καὶ τὸ ἄφθαρτον ἀκολουθεῖ ἀλλήλοις. καὶ δείξας ταύτην τὴν πρότασιν, τὴν τὸ γενητὸν καὶ τὸ φθαρτὸν μὴ ἀεὶ εἶναι λέγουσαν, οὕτως ὡς τὸ μὴ ἀεὶ μὴ ὄν, δείκνυσιν ἑπομένως ὅτι καὶ τὸ ἀγένητον καὶ τὸ ἄφθαρτον ἀεὶ ἔστι. ἔστι δὲ διὰ τοῦ δεῖξαι ἀκολουθεῖν αὐτὰ ἀλλήλοις. ἔστι δὲ, διὰ τοῦ δεῖξαι τὸ γενητὸν καὶ τὸ φθαρτὸν ἀλλήλοις ἀκολουθεῖν.

Α΄ ΠΡΩΤΟΝ εἰ καὶ ἀγένητον, οὐ δὲ, τοῦτ' ἀνάγκη ἀΐδιον εἶναι. ὁμοίως δὲ καὶ εἰ ἄφθαρτον, οὐ δέ. λέγω δὲ τὸ ἀγένητον, καὶ ἄφθαρτον, τὰ κυρίως λεγόμενα. ἀγένητον μὲν ὃ ἔστι νῦν μὴ πρότερον οὐκ ἀληθὲς ἦν εἰπεῖν τὸ μὴ εἶναι. ἄφθαρτον δὲ, ὃ νῦν ὄν, ὕστερον μὴ ἀληθὲς ἔσται εἰπεῖν μὴ εἶναι.

Δ εἰρηκότος ὅτι τὸ ἀΐδιον οὔτε γενητὸν οὔτε φθαρτόν ἐστιν, οἷς σωιζόμενον τὸ ἀεὶ ὂν ἀγένητον καὶ ἄφθαρτον εἶναι, ἅπαν γὰρ ἢ γενητὸν ἢ ἀγένητον, καὶ ἢ φθαρτὸν ἢ ἄφθαρτον, καὶ αὖθις εἰρηκότος ὅτι τὸ γενητὸν καὶ τὸ φθαρτὸν οὐκ ἔστιν ἀΐδια, ἑπομένως ζητεῖ εἰ τὸ ἀγένητον καὶ ἄφθαρτον ἀΐδια ἐστί. προσέθηκε δὲ τῷ γενητῷ τὸ ὂν καὶ τῷ φθαρτῷ. ὅτι πολλαχῶς αὐτὴν λεγομένων δυνάμει καὶ κατὰ τὸ μὴ ὅλως ὄντος, καὶ κατὰ τὸ μὴ δυναμένου γενέσθαι κατηγορεῖσθαι τὸ ἀγένητον καὶ τὸ ἄφθαρτον. δίον τὴν διάμεσον σύμμεσον εἶναι τῇ ἀκυρᾷ. οὔτε γὰρ γενέσθαι τοῦτο δυνατὸν, οὔτε φθείρεσθαι μὴ ὄν. ἀλλὰ καὶ κατὰ τὸ ποτὲ μὲν ὄντος ποτὲ δὲ μὴ ὄντος, μὴ διὰ γενέσεως δὲ ἡ φθορᾶς εἰς τοῦτον μεταβάλλοντος. ἀληθεύει τὸ ἀγένητον καὶ ἄφθαρτον. πολλαχῶς οὕτω τούτων λεγομένων, διὰ μὲν τῆς προσθήκης τοῦ ὄν δὲ, διὰ μὲν τῆς προσθήκης τοῦ ὄν δὲ, ἐχώρισεν αὐτὰ ἀπὸ τῆς μὴ ὄντων. κατὰ τὴν ὑζήγησιν δὲ τῆς κυρίως εἰρημένων ὁ λόγος αὐτῷ νῦν πρόκειται. ὁ δὲ Ἀλέξανδρος, καὶ πάρ' αὐτῇ τῆς λέξεως προτάσει γεγραμμένου, ὁμοίως δὲ καὶ εἰ ἄφθαρτον μὲν, οὐ δὲ, αὐτῇ ὑζηγήσει ὡς οὕτως ἐχούσης τῆς λέξεως ὑζηγεῖται. ὁμοίως δὲ καὶ εἰ ἀΐδιον, οὐ δὲ, καὶ φησὶν ἀγένητον λέγεσθαι, καὶ καθ' οὗ τὸ ἀδυνάτου γενέσθαι κατηγορεῖται. ἀγένητον γὰρ ὡς τὸ νῦν διάμεσον εἶναι τῇ ἀκυρᾷ σύμμεσον. τοιοῦτον δὲ τοῦτο τῷ καὶ τὸ ἀΐδιον δυνατὸν εἶναι λέγειν. ἀϊδίως γὰρ ἀδυνάτου ἦ σύμμεσον. οὕτω φησὶ τὰ οὕτω λεγόμενα ἀΐδια μὴ ἀγένητα, διὰ τὸ μήτε εἶναι μήτε ἐνδέχεσθαι, οὐ τοτὲ δὲ κατ' ἄλλό τι τῶν κατ' αὐτὸ σημαινομένων χωρίσει τῶν εἰρημένων, διὰ τοῦτο προσέθηκεν ἑκατέρῳ αὐτῶν τὸ ὂν δὲ, καίτοι καὶ τὰ ἀριστοτέλους βιβλία τὰ εἰς ἡμᾶς ἀφικνούμενα οὕτω γεγραπται. ὁμοίως δὲ καὶ εἰ ἄφθαρτον. ὂν δὲ, καὶ κατὰ ἀμφοῖν δὲ τοῦ ἀγενήτου τε καὶ τοῦ ἀφθάρτου τὸ ἀΐδια εἶναί φησιν. διὰ τὸ ἄμφω τούτω ὠρίσθαι. τότε κυρίως ἀγένητον καὶ τὸ κυρίως ἄφθαρτον. ἃ τινα αὐτίκειται τῷ κυρίως γενητῷ καὶ φθαρτῷ. τὸ γὰρ κυρίως γενητόν φησι, τὸ νῦν ὂν πρότερον δυνατὸν εἶναι καὶ μὴ εἶναι. καὶ φθαρτὸν κυρίως. τὸ νῦν ὂν καὶ ὕστερον δυνατὸν εἶναι καὶ μὴ εἶναι.

Η΄ ΕΙ ΜΕΝ ταῦτα ἀλλήλοις ἀκολουθεῖ καὶ τό, τε ἀγένητον ἄφθαρτον, καὶ τὸ ἄφθαρτον ἀγένητον, ἀνάγκη καὶ τὸ ἀΐδιον ἑκατέρῳ ἀκολουθεῖν. μὴ ἔστι τι ἀγένητον ἀΐδιον εἴτε τι ἄφθαρτον ἀΐδιον. δῆλον δὲ καὶ ἐκ τοῦ ὁρισμοῦ αὐτῶν, καὶ γὰρ ἀνάγκη εἰ φθαρτὸν, γενητόν. ἢ γὰρ ἀγένητον ἢ γενητόν. εἰ γὰρ ἀγένητον, ἄφθαρτον ὑπόκειται καὶ εἰ γενητὸν δὲ, φθαρτὸν ἀνάγκη. ἢ γὰρ φθαρτόν. ἢ ἄφθαρτον, ἀλλ' εἰ ἄφθαρτον ἀγένητον ὑπέκειτο. εἰ δὲ μὴ ἀκολουθοῦσιν ἀλλήλοις τὸ ἄφθαρτον καὶ τὸ ἀγένητον, οὐκ ἀνάγκη οὔτε τὸ ἀγένητον. οὔτε τὸ ἄφθαρτον ἀΐδιον εἶναι.

Ζ ΕΠΕΙΔΗΣ ἐπὶ τῷ ἀγενήτῳ καὶ τῷ ἀφθάρτῳ τὸ ἀΐδιον ἔπεται, λέγει νῦν, ὅτι εἴπερ ἀλλήλοις ταῦτα ἀκολουθεῖ, ὡς τὸ ἀγένητον ἄφθαρτον οὕτω καὶ τὸ ἄφθαρτον ἀγένητον, ἀνάγκη καὶ τὸ ἀΐδιον ἑκατέρῳ ἀκολουθεῖν. τὸ γὰρ ἀγένητον ἅμα καὶ ἄφθαρτον ὂν δηλονότι καὶ ἀΐδιόν ἐστιν. οὔτε γὰρ πρότερον αὐτὸ μὴ εἶναι δυνατόν. εἴπερ ἀγένητόν ἐστιν, οὐθ' ὕστερον. εἴπερ ἄφθαρτον. ὃ δὲ πρότερον ἀληθὲς ἦν λέγειν ὅτι οὐκ ἔστι οὐ δυνάμενον, τοῦτο ἀνάγκη ἀΐδιον εἶναι. καλῶς οὖν ἔφη ὅτι ἐκ τοῦ ὁρισμοῦ αὐτῶν τοῦ ἀγενήτου καὶ τοῦ ἀφθάρτου, δῆλον, ὅτι ἑπομένως ἀλλήλοις τὸ ἀγένητον καὶ τὸ ἄφθαρτον, καὶ τὸ ἀΐδιον αὐτοῖς ἕπεται. παρεσημήνατο δὲ ὅτι εἰ καὶ τὸ γενητὸν καὶ τὸ φθαρτὸν ἀλλήλοις ἀκολουθεῖ. εἰ γὰρ τὸ μὴ φθαρτὸν γενητὸν, ἀγένητον δή που ἔσται. τὸ δὲ ἀγένητον ἄφθαρτον ὑπόκειται. τὸ ἄρα φθαρτὸν ἄφθαρτον ἔσται. ὅπερ ἀδυνάτου. ὁμοίως δὲ καὶ εἰ γενητόν τι εἴη. ἀνάγκη καὶ φθαρτὸν αὐτὸ εἶ. εἰ γὰρ ἄφθαρτον, ἀγένητον ἔσται. τὸ ἄρα γενητὸν ἀγένητον ἔσται. ὧδε σωιήλθε δὲ τῷ εἰ γενητόν τι καὶ φθαρτὸν, τὸ, ἢ γὰρ φθαρτὸν ἢ ἄφθαρτον. ἀνάγκη δὴ καταλιπόντας τὸ μεταξὺ διὰ βραχύτητα τὸ δηλονότι ἢ φθαρτὸν ἢ ἄφθαρτον ἑπομένως ἐπιφέρειν τὸ δηλονότι. ἀλλ' εἰ ἄφθαρτον ἀγένητον

ὑπέκειτο. θαυμαστὸν δέ, ὅτι μέλλων δείξειν τοῦ ἀγενήτου καὶ ἀφθάρτου πρὸ ἀκολουθίαν διὰ τῆς τοῦ γενητοῦ καὶ φθαρτοῦ ἀκολουθίας, νυνὶ πρὸ τοῦ γενητοῦ καὶ φθαρτοῦ ἀκολουθίας εἰωθαί φησι τὴν τοῦ ἀγενήτου καὶ ἀφθάρτου ἀκολουθίαν. ἀλλ' ἔοικε δείκνυσθαι διὰ τούτου. ὅτι ἡ στιγμὴ τούτων τὴν ἀκολουθίαν ὑπαρχούσης, καὶ βατὸν ἂν ὑπάρχειν αὐτάρκη. εἰ δὲ μὴ ἔποιτο ἀλλήλοις τὸ ἀγένητον καὶ τὸ ἄφθαρτον, οὐκ αὐτάρκη φησὶν οὔτε τὸ ἀγένητον οὔτε τὸ ἄφθαρτον ἀΐδια εἶναι. οὔτε γὰρ τὸ ἀγένητον μὴν φθαρτὸν δὲ οὔτε τὸ ἄφθαρτον μὴν γενητὸν δέ, δυνατὸν ἀΐδια εἶναι.

Ο" ΤΙ ΔΑΝΑΓΚΗ ἀκολουθεῖν, ἐκ τῆν δὲ φανερόν. τὸ γὰρ γενητὸν καὶ φθαρτὸν, ἀκολουθοῦσιν ἀλλήλοις. δῆλον δὲ καὶ ἔσται, ἐκ τῆν πρότερον. τὸ γὰρ ἀεὶ ὄντος καὶ τὸ ἀεὶ μὴ ὄντος, ἔστι μεταξύ. ᾧ μὴν ἔστερον ἀκολουθεῖ. ἔσται δ' ἔστι τὸ γενητὸν καὶ φθαρτόν. δυνατὸν γὰρ καὶ εἶναι καὶ μὴ εἶναι ὡρισμένον χρόνον ἑκάτερον. λέγω δ' ἑκάτερον, καὶ εἶναι ποσόν τινα χρόνον καὶ μὴ εἶναι. εἰ τοίνυν ἔστί τι γενητὸν ἢ φθαρτὸν, ἀνάγκη ἔσται μεταξύ εἶναι. ἔστω γὰρ τὸ Α, τὸ ἀεὶ ὄν. τὸ δὲ Β, τὸ ἀεὶ μὴ ὄν. τὸ δὲ Γ, γενητόν. τὸ δὲ Δ, φθαρτόν. ἀνάγκη δὴ τὸ Γ, μεταξὺ εἶναι τοῦ Α καὶ Β. τὴν μὲν γὰρ οὐκ ἔστι χρόνος, ἐπ' οὐδέτερον τὸ πρᾶσσ' ᾧ ἢ τὸ Α οὐκ ἰῶ, ἢ τὸ Β ἰῶ. τῷ δὲ γενητῷ, ἀνάγκη ἢ σύστασιν εἶναι, ἢ δυνάμει. τοῖς δὲ Α Β οὐδέτερος. ποσὸν ἄρα τινὰ καὶ ὡρισμένον χρόνον, καὶ ἔσται, καὶ πάλιν οὐκ ἔσται τὸ Γ. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ Δ φθαρτοῦ. γενητὸν ἄρα, καὶ φθαρτὸν ἑκάτερον. ἀκολουθοῦσι γὰρ ἀλλήλοις τὸ γενητὸν καὶ φθαρτόν.

Προθέμενος δείξαι ὅτι τὸ ἀγένητον καὶ τὸ ἄφθαρτον ἀκολουθεῖ ἀλλήλοις, ἔδειξεν αὐτὸ διὰ τοῦ τὸ γενητὸν καὶ τὸ φθαρτὸν ἀκολουθεῖν ἀλλήλοις. εἰ γὰρ καὶ ἡ στιγμὴ αὐτὴν ἀκολουθίαν λυφθείσης, ἕπεται καὶ ἡ ἑτέρα, ἀλλ' οὕτω προχειροτέρα δοκεῖ ἡ τοῦ γενητοῦ καὶ φθαρτοῦ ἀκολουθία. διὰ τὸ μεσότητα τοῦ ἀεὶ ὄντος καὶ ἀεὶ μὴ ὄντος. δείξας γὰρ ἀποφάσεις τοῦ ἀεὶ ὄντος καὶ ἀεὶ μὴ ὄντος κατὰ τοῦ αὐτοῦ ἀληθεύειν, δῆλον ὅτι κατὰ τοῦ μεταξὺ ἀμφοῖν, καὶ ἔσται εἶναι τὸ ποτὲ μὲν εἶναι, δυνάμει τὸ ποτὲ δὲ μὴ εἶναι, ὅπερ ἐστὶ τὸ γενητὸν καὶ τὸ φθαρτόν, σωεπέραινεν ὅτι ἕπεται ἀλλήλοις τὸ γενητὸν καὶ τὸ φθαρτόν. εἰ περ γὰρ τῷ αὐτῷ μεταξύ ἐστὶ ὑπάρχοντι ἀμφοῖν ὑπάρχει. τούτου τοίνυν τοῦ προσδιορισμοῦ καὶ νυνὶ ἡμῖν ὑπομιμνήσκων, ὅτι τὸ γενητὸν καὶ φθαρτὸν ἕπεται ἀλλήλοις, δῆλον εἶναί φησιν ἐκ τῆν προτέρων. ὅπερ νυνὶ ἀναλαμβάνων φησὶν, ὅτι τοῦ ἀεὶ ὄντος καὶ ἀεὶ μὴ ὄντος ἔστι μεταξύ, ᾧ περ οὐδέτερον ἕπεται οὔτε τὸ ἀεὶ ὂν οὔτε τὸ ἀεὶ μὴ ὄν. ἀνάγκη τοίνυν τὰς ἀποφάσεις αὐτῆν ἕπεσθαι ἐκείνοις, εἴπερ κατὰ παντὸς ἢ πρὸ ἀποφάσιν ἢ πρὸ ἀπόφασιν ἀληθεύειν, ἀνάγκη. ᾧ δὲ ἕπονται αἱ ἀποφάσεις αὐτῆν. τοῦτό ἐστι τὸ γενητὸν καὶ φθαρτὸν, τὸ γὰρ μὴ ἀεὶ ὄν. καὶ μὴ ἀεὶ μὴ ὄν, δυνάμει καὶ εἶναι καὶ μὴ εἶναι ὡρισμένον χρόνον ἑκάτερον. ὅπερ δ' ἐκείνου ἕφη, ἡ γὰρ ἑκάτερου ἀπόφασις ποτὲ ὑπάρξει, εἰ μὴ ἀεί. εἰ γὰρ μὴ εἴη τι δυνατὸν ἀεὶ, μὴ δὲ μὴ εἶναι ἀεὶ, σύμβαίνει ἑκάτερον αὐτῆν ὑπάρξει. εἰ τοίνυν ἔστιν ὅλως τι σύστασει τῆν ὄντων γενητὸν καὶ φθαρτὸν, καὶ αἱ τῆν σύαντίων ἀποφάσεις κατά τινος ὄντος φέρονται, τοῦτό ἐστι τὸ μεταξύ, ᾧ περ τὸ εἶναι καὶ τὸ μὴ εἶναι σύμβαίνει ὑπάρχειν σύ ὡρισμένῳ χρόνῳ. καὶ δείκνυσιν αὖθις αὐτὸ διὰ τῆς τῆν στοιχείων ἐκθέσεως. λαβὼν γὰρ αὖθις. Α μὲν ἐφ' ᾧ ἀεὶ ὄν. Β δὲ ἐφ' ᾧ ἀεὶ μὴ ὄν, Γ δέ, ὅπερ ἰῶ ἀπόφασις τοῦ Α ἀγενήτου. καὶ τὸ Δ, ὅπερ ἰῶ ἀπόφασις τοῦ Β ἀφθάρτου, πρῶτον μὲν ὅτι τὸ Γ, ὅπερ ἐστὶ τὸ γενητὸν, μεταξύ ἐστὶ τοῦ τε ἀεὶ ὄντος καὶ τοῦ ἀεὶ μὴ ὄντος, δείκνυσιν ἐκ τοῦ τὴν μὲν σύαντίων δῆλον ὅτι τοῦ ἀεὶ ὄντος καὶ τοῦ ἀεὶ μὴ ὄντος μὴ εἶναι χρόνον ὡρισμένον, ἔστιν γὰρ ὑπακουστέον, πρὸς οὐδέτερον πρᾶσσ', οὔτε πρὸς τὸ πρότερον οὔτε πρὸς τὸ ὕστερον. οὔτε γὰρ σύ προτέρῳ τινὶ χρόνῳ τὸ ἀεὶ ὂν δυνατὸν μὴ εἶναι, οὔτε τὸ ἀεὶ μὴ ὂν δυνατὸν εἶναι, οὔτ' σύ ὑστέρῳ. τοῦ δὲ γενητοῦ ἀνάγκη εἶναί τινα χρόνον ὡρισμένον, καὶ πρᾶσσ' αὐτοῦ. σύ ᾧ ἢ τοι σύστασιν ἰῶ ἢ οὐκ ἰῶ ἢ δυνάμει. σύστασιν μὲν γὰρ οὐκ ἰῶ, ὅτε μήπω γενόμενον ἰῶ γενητὸν ὄν. ἰῶ δ' σύστασιν γενητόν. ἤδη ὄν. δυνάμει δὲ οὐκ ἰῶ μὲν, ὅτε ἤδη γενητόν ἐστιν. ἤδη γὰρ ὂν γενητὸν δυνάμιν ἔχει τοῦ μὴ εἶναι σύ ὑστέρῳ χρόνῳ. ἰῶ δὲ δυνάμει πρὸ τοῦ γενητὸν εἶναι. ὁμοίως δὲ καὶ τὸ φθαρτὸν σημειώσεως δυνατὸν αὐτισχρόφως θεωρεῖσθαι. ἰῶ μὲν γὰρ σύστασιν πρὸ τοῦ φθαρῶ. δυνάμει δὲ μετὰ τὸ φθαρῶ. καὶ οὐκ ἔστιν σύστασιν φθαρτὸν, δυνάμει ἔτι ὄν. καθόλου δὲ τὸ ποτὲ μὲν ὄν, ποτὲ δὲ μὴ ὄν, σύ παντὶ χρόνῳ θάτερον μοῖραν ἔστιν αὐτῆν σύστασιν, θάτερον δὲ δυνάμει. εἰπὼν δὲ περὶ τοῦ γενητοῦ, ὅτι ἀνάγκη πρᾶσσ τι εἶναι αὐτοῦ σύ ᾧ ἔστιν ἢ μὴ ἔστιν, ἢ τοι σύστασιν ἢ δυνάμει, ἐπάγει περὶ τοῦ ἀεὶ ὄντος καὶ ἀεὶ μὴ ὄντος, ἅπερ ἦλθον τὰ Α Β, ὅτι τούτοις οὐδετέρῳ τρόπῳ ἐγχωρεῖ πρᾶσσ' ἔχειν, τῷ μὲν τοῦ εἶναι. τῷ δὲ τοῦ μὴ εἶναι, οὔτ' σύστασιν οὔτε δυνάμει. καὶ ὅτι μὲν σύστασιν οὐ πάρεστι τὸ πρᾶσσ τοῦ εἶναι τῷ ἀεὶ ὄντι, οὔτε τοῦ μὴ εἶναι ᾧ ἀεὶ μὴ ὄντι, φανερόν. ὅτι δὲ οὐ δὲ δυνάμει. μάθοις αὖ ἐκ τοῦ δυνάσθαί ποτε καὶ σύστασιν ὑπάρξαι αὐτοῖς, ὅπερ δυνάμει ἔχουν. εἰ τοίνυν τὸ μὲν ἀεὶ ὂν ἔσται μὴ ὄν, τὸ δὲ ἀεὶ μὴ ὂν ἔσται ὄν, τὸ αὐτὸ κατὰ τοὺς αὐτοὺς εἴη αὖ καὶ οὐκ εἴη. ὅπερ ἐστὶν ἀδύνατον. καὶ δυνάτον τίθεσθαι τὸ δυνάμει εἰς τὸ σύστασιν ποτὲ προϊόν. ἔστω δὲ ψευδὲς μὲν αὖ ἰῶ. οὐμὲν ἀδύνατον. ἀλλ' εἰ τὸ

ἀδιωάτου τῷ ἀδιωάτῳ εἶπεται, εἴπερ τὸ αὐτὸ ἅμα φησὶν εἶναί τε καὶ μὴ εἶναι δυνάμει, ὑπάρξει
τῷ μὲν ἀεὶ ὄντι τὸ μὴ εἶναι, τῷ δὲ ἀεὶ μὴ ὄντι τὸ εἶναι. εἰ πῶν δὲ ὅλῳ μέσου τινὸς τούτων, ἐπή-
νεγκε τὸ ὅλῳ τῷ γενητῷ συμπέρασμα, δηλονότι τὸ ποσόν τινα καὶ ὡρισμένον χρόνον ἔσαι
καὶ αὖθις οὐκ ἔσαι· ἀνάγκη γὰρ πέρας ἔχειν χρόνου τὸ γενητόν, ἐν ᾧ ἔστι καὶ ἐν ᾧ οὐκ ἔστιν ἤτοι ἐν ὑπ-
γείᾳ ἢ δυνάμει. τοῦτο δ' ἔπεται τὸ δηλονότι ποσόν τινα καὶ ὡρισμένον χρόνον αὖτὸ εἶναί τε καὶ μὴ
εἶναι. τὸ γὰρ μὴ ἄπειρον, ὡρισμένον. τούτοις δ' ἕπεται. ὅτι ὁμοίως ἔχει καὶ ἐπὶ τοῦ φθαρτοῦ. ὡς
γὰρ ἐπὶ τοῦ γενητοῦ, οὕτω καὶ ἐπὶ τοῦ φθαρτοῦ. καὶ ὅλως γὰρ ἀνάγκη πέρας ἔχειν τι χρό-
νου, καὶ ὡρισμένον αὐτῷ χρόνον εἶναι. καὶ πῶς αὐτῷ ἑκατέρου διαφορὰν προσαρμόττων ἐπή-
νεγκεν, γενητὸν αὖτε καὶ φθαρτὸν ἑκάτερον. εἴπερ ἑκατέρῳ αὐτῶν πάρεστιν ὡρισμένον χρόνον
εἶναι καὶ μὴ εἶναι. εἰ δὲ καὶ τὸ γενητὸν φθαρτόν ἐστι. καὶ τὸ φθαρτὸν γενητόν, καὶ ὁ αὐτὸς ἀμφοῖν
λόγος, ἕπεται αὖτε ἀλλήλοις τὸ γενητὸν καὶ φθαρτόν. ὅπερ ἴσως δηλονότι προκείμενον δεῖξαι. ὅθεν
δὲ καὶ πρότερον ἔλεξεν, ὅτε ἔλεξε τὰς ἀποφάσεις τὰς ἀντίους δηλονότι τὸ ἀεὶ ὄντος καὶ ἀεὶ μὴ
ὄντος κατὰ τὸ αὐτὸ ἀληθεύειν. οὐ δεῖ δὲ λαμβάνειν αὐτὸν καθόλου ὅθεν λέγειν, δηλονότι
τὰ καθ' ὧν αἱ ἀποφάσεις τὰς ἀντίους ἀληθεύουσι. ταῦτα ἕπεσθαι ἀλλήλοις. οὐ γὰρ ἀληθὲς οὕτως
εἰρῆσθαι. τὸ γὰρ ὠχρὸν καὶ δρυπρὸν μετοξύ ἐστι τοῦ λευκοῦ καὶ τοῦ μέλανος ἀντίων ὄντων, καὶ
καθ' ἑκατέρου αὐτῶν ἀληθεύουσιν αἱ τὰς ἀντίων τοῦ λευκοῦ δηλονότι καὶ μέλανος ἀποφάσεις.
οὐμὴν καὶ ἕπεται ἀλλήλοις. ἀλλ' ὥσπερ ἴδιον ἐν τοῖς ἀντίοις δηλονότι τὸ ἀεὶ ὄντος καὶ ἀεὶ μὴ
ὄντος ἀεὶ εἶναί τι μεταξὺ αὐτῶν, καθ' οὗ ἑκατέρου ἡ ἀπόφασις λέγεται, οὐ γὰρ οὕτως εἶχεν ἐν τοῖς
ἄλλοις ἀντίοις καθόλου, οὔτε ἐν τοῖς ἀμέσοις οὔτ' ἐν τοῖς ἐμμέσοις, οὕτω καὶ τὰ μεταξὺ αὐ-
τῶν ἀλλήλοις ἕπεσθαι ἴδιον αὐτῶν ἐστι. καὶ γὰρ καὶ τὰ μεταξὺ αὐτῶν κατά τι μετέχει ἑκατέρου
αὐτῶν τῷ ποτὲ μὲν εἶναι ποτὲ δὲ μὴ εἶναι, καὶ τῷ ὡρισμένον χρόνον ἑκάτερον αὐτῶν εἶναί τε καὶ
μὴ εἶναι. καὶ εἰς λόγος καὶ ὁ αὐτός ἐστιν ἀλλήλοις, τῷ ὀνόματι μόνῳ πῶς διαφορὰν ἔχουσιν, ὡς ὁ
ἀλεξάνδρου φησίν, ἐκ τοῦ ἑκάτερον μὲν αὐτῶν δυνάμει ἔχειν τὸ εἶναι καὶ μὴ εἶναι, ἀποδε-
δεῖχθαι δὲ, ὅτι πᾶν τὸ ἔχον δύναμιν τοῦ εἶναι καὶ μὴ εἶναι, ὡρισμένῳ ἑκατέρου αὐτῶν ἔχει πῶς
δύναμιν. οὐ δὲ γὰρ οἷόν τε εἰς ἄπειρον ἔχειν πῶς δύναμιν τοῦ εἶναι καὶ μὴ εἶναι. ὥστε καὶ γένοιτ' ἂν
τι μόριον ἑκάτερον αὐτῶν καὶ φθαρείη. ταῦτα τοῦ ἀλεξάνδρου ἐστίν. ἴσως δόξειεν ἂν τῷ ἐφε-
σίνου τι οὕτω ἱκανῶς εἰρῆσθαι περὶ τῆς δείξεως τῆς ἕπεσθαι ἀλλήλοις τὸ γενητὸν καὶ τὸ φθαρτόν.
οὐ δὲ γὰρ ὁ αὐτὸς αὐτῶν ὅρισμός. κοινὸν μὲν γὰρ αὐτοῖς τὸ ἐνδέχεσθαι ποτὲ μὴ εἶναι. οὐμὴν ταυτόν
γε τὸ ποτὲ ἀμφοῖν. ἔνθα μὲν γὰρ τὸν παρελήλυθότα χρόνον, ἔνθα δὲ τὸν μέλλοντα σημαίνει. διὸ
οὐκ ἀκριβῶς ἐξηγήσατο, τὸ δυνατὸν πρότερον μὴ εἶναι, καὶ ὕστερον δύνασθαι μὴ εἶναι. ἔτι δὲ
φησὶ καὶ περὶ τοῦ ὀρθῶς ἀληθὲς ὄντα λέγειν, ὅτι κατά τι ἑκατέρου τῶν ἀντίων μετέχει, δηλο-
νότι τοῦ λευκοῦ καὶ τοῦ μέλανος. ἀλλ' οὐ δὲ ταῦτα ἤδη ἕπεται ἀλλήλοις. τούτοις καλῶς προσχὼν
ἐπάγει, ὅτι τὸ τοῦ ἐπιχειρήματος τὸ ἀριστοτέλους ἰσχυρὸν ἔχεται τοῦ τὸ γενητὸν καὶ φθαρτὸν πο-
σόν τινα καὶ ὡρισμένον χρόνον πρὸς ἄμφω δύναμιν ἔχειν τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι. ὅθεν δ' αὖθις τοῦ
ἀληθεύειν κατ' αὐτῶν τὰς ἀποφάσεις. τὸ γὰρ μὴ ἀεὶ μὴ ὄν, ἢ μὴ ἀεὶ ὄν, δηλονότι ἐφ' ὡρισμένον τινὰ
καὶ πεπερασμένον χρόνον δύναμιν τοῦ εἶναι ἔχει. ὅλῳ γὰρ ὅθεν οὐκ ἀληθὲς κατ' αὐτοῦ τὸ ἀεὶ εἶναι.
μεταβάλλον οὖν ἀπὸ τοῦ εἶναι ἐπὶ τὸ μὴ ὄν, φθαρτόν ἐστιν, εἴπερ ἀεὶ μὴ ἔστι. πάλιν δὲ τὸ μὴ ἀεὶ ὂν ἢ
μὴ ἀεὶ μὴ ὂν ἀλλὰ ποτὲ, ἐκ τούτου ἀνάγκη ἐπὶ τὸ εἶναί ποτὲ ἀφικέσθαι. εἴπερ μὴ ἀεὶ μὴ ὂν ἐστὶν
γενητὸν ἄρα τὸ ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι μεταβάλλον. εἰ οὖν κατὰ τοῦ αὐτοῦ ἀληθεῖς αἱ ἀποφά-
σεις, τὸ μὲν οὐκ ἀεὶ ὂν φθαρτὸν σημαίνει, τὸ δὲ οὐκ ἀεὶ μὴ ὂν γενητὸν, τοῦτό ἐστι τὸ γενητὸν καὶ φθαρ-
τόν. καὶ ἀλλήλοις ἕπεται ταῦτα, ὡρισμένον τινὰ χρόνον ἑκατέρου τοῦ εἶναι καὶ μὴ εἶναι δυνάμεων
ἐχόντα. δέδεικται δὲ καὶ πρότερον ὅτι ἀνάγκη τὸ γενητὸν καὶ φθαρτὸν εἶναι. ταύτης γὰρ γενητόν
ἐστιν, ὅπερ ἐκ τοῦ ὄντος γίνεται τὸ γινόμενον. καὶ μεταβολή τίς ἐστιν ἡ γένεσις τοῦ δυνάμεων ἔχοντος με-
ταβάλλειν εἰς τὸ γενητόν. καὶ τὸ μεταβάλλον τοίνυν εἰς ὅθεν δύναμιν ἕξει τοῦ μεταβάλλειν αὖθις
εἰς ἐκεῖνο, ἐξ οὗ γέγονεν. εἰ τούτῳ γὰρ ἡ μεταβολὴ γίνεται τῷ σώζουσι πῶς οἰκείαν φύσιν. εἰ δ' αὖ
ὅθεν τὸ δεκτικὸν τῶν ἀντίων χωρεῖς. εἰ τοίνυν μεταβάλλει αὖθις τὸ γενητὸν φθαρτὸν ἔσαι. καὶ
ἀκολουθᾷ τῷ γενητῷ τὸ φθαρτόν. αὖθις δὲ τὸ φθαρτὸν δύναμιν ἕξει τοῦ ἔχειν, ὥσπερ εἶχεν πρὸ τοῦ
φθείρεσθαι καὶ φθαρῆναι. καὶ φθαρέντος τοίνυν, τὸ εἰς ὃ ἐφθάρη ἕξει δύναμιν μεταβολῆς εἰς
τὸ ἀντίον, ἀφ' οὗ καὶ γέγονεν. ὥστε καὶ ᾧ φθαρτῷ τὸ γενητὸν ἕπεται. πρὸς τὸ αὐτὸ ἐρεῖ τοίνυν
τὸ γενητὸν καὶ φθαρτὸν ἱκανὴ πίστις αὕτη. ἡ πρὸς μὲν τὴν τῶν ἀποφάσεων λόγον δυνατὸν λέγειν,
ὅτι αἱ ἀποφάσεις αὗται δηλονότι τὸ μὴ ἀεὶ εἶναι, καὶ μὴ ἀεὶ μὴ εἶναι, οὐ μόνον τῷ γενητῷ ἢ φθαρτῷ
ἐφαρμόζουσιν. ἀλλὰ καὶ τῷ γενητῷ μὲν, ἀφθάρτῳ δὲ, καὶ γὰρ καὶ ὅθεν οὐκ ἀεὶ μόνιμόν ἐστιν. ὅτι ἐκ
τοῦ πρότερον μὴ εἶναι ὕστερον εἶναι προῆλθεν. καὶ οὕτω γενητὸν ὑπέστη. οὐκ ἀεὶ δὲ μὴ ὂν ἐστιν, εἰ

ἄφθαρτον ὄν, οὗ ὄντος εἰς ἄπειρον ἐφεξῆς. ἀλλ' ὁ μὲν ἀλέξανδρος σὺν δοὺς ὡς ἔοικεν τῇ ἀπορίᾳ ταύτῃ εἰς ἄλλῳ ἀπόλειξιν ἠκτα φθύγει μᾶλλον, πλὴ τῷ εἴπεσθαι δηλονότι ἀλλήλοις τὸ γενητὸν καὶ τὸ φθαρτὸν λέγειν. ἕπεσθαι γὰρ τῷ μεταξὺ ὑπάρχοντι οὔτε τῷ εἶναι εἰς ἄπειρον δυνάμιν ἔχειν, οὔτε τῷ μὴ εἶναι, ἀλλ' εἰς ὡρισμένον. εἰ δὲ ἔστιν, τὸ δυνάμει ὂν γίνεσθαι, ὡρισμένον χρόνον ἔξει τοῦ μὴ εἶναι ὅπερ δυνάται. καὶ τὸ ὂν ἐκείνου γινόμενον ὡρισμένον χρόνον αὖθις δυνάσθαι εἶναι. καὶ τὸ οὕτω γινόμενον αὖθις εἰς τὸ εἶναι δυνάσθαι. ὥστε οὕτω γινόμενον αὖθις εἰς τὸ εἶναι μεταβαλεῖν. οὕτω δ' ἔσται τὸ γενητὸν καὶ τὸ φθαρτόν. ἴσως δὲ καὶ πλὴ ἀπορίαν ἐκείνῳ λύειν δυνατὸν λέγοντα. ὅτι τὸ μὴ ἀεὶ εἶναι οὐκ ἀληθεύει κατὰ τοῦ γενητοῦ μὲν ἀφθάρτου δὲ, εἰ γὰρ τὸ ἄφθαρτον εἰς ἄπειρον ἐφεξῆς τὸ εἶναι ἔχει. ὁ δὲ εἰς ἄπειρον ἀεί τι ὄντων, ἀληθὲς κατ' αὐτοῦ λέγειν τὸ ἀεὶ εἶναι, εἰ καὶ ἐκ θατέρου μέρους τὸ ἀεὶ μόνον εἶχεν. καὶ ἔτι πρὸς πλὴ διυτόδαν διαίρεσιν τοῦ ἕπεσθαι ἀλλήλοις τὸ γενητὸν καὶ φθαρτὸν, ὡρισμένον χρόνον ἔχοντα τοῦ εἶναι δυνάμιν καὶ τοῦ μὴ εἶναι ἐνδέχεσθαι, καὶ ἀλέξανδρος αὐτὸς ἀπορεῖ κακλῶς. ξητήσειε γὰρ ἄν φησὶ τὶς πῶς εἴρηται, πόσον γάρ τινα καὶ ὡρισμένον χρόνον ἔσται. καὶ αὖθις οὐκ ἔσται. ἔοικε γὰρ τοῦ μὲν εἶναι ἐνδέχεσθαι τὴν σὺν γενέσει ὡρισμένον τινὰ χρόνον εἶναι. οὐκέτι δὲ καὶ τοῦ μὴ εἶναι. σὺν μὲν γὰρ τοῖς ἀφθόλοις ὄντ σὺν ἀντίων καὶ ὡρισμένων εἰς σὺν αντία καὶ ὡρισμένα πλὴ μεταβολὴν εἶναι. οἷον ἐκ τῆς θερμῶν εἰς τὰ ψυχρά. ἢ τὰ ἀνάπαλιν. καὶ σὺν ἄλλοις τισίν. ὡς εἶναι τὸν χρόνον αὐτὸν ὡρισμένον τοῦ πυρὸς καὶ τοῦ ὕδατος, σὺν ᾧ ἔστι καὶ οὐκ ἔστιν ἐνδέχεσθαι. σὺν τοῖς σωθέτοις δὲ οἷον σὺν τοῖς φυτοῖς ἢ τοῖς ζώοις, τοῦ μὲν εἶναι χρόνος ὡρισμένος ἔστι. τοῦ δὲ μὴ εἶναι οὐκέτι. φθαρεὶς γὰρ ἕκαστον αὐτῶν, ἄπειρον χρόνον εἰς τὸ ἐξῆς οὐκ ἔσται. ὥσπερ καὶ τὸν πρὸ τοῦ γενέσθαι. καὶ κεῖνον γὰρ ἄπειρον ὑπάρχοντα οὐκ ἰῶ. ὁ γὰρ σωκράτης φθαρεὶς οὐχ ὡρισμένον τινὰ χρόνον διωάμιν ἔχει τοῦ μὴ εἶναι. εἴπερ οὐκ ἀνάγκη αὖθις αὖτὸν γενέσθαι. καὶ κατὰ τοῦτον δὲ φησιν ἴσως. σὺν οἷς ἡ ὑποκειμένη ὕλη πρὸς πολέω μεταβάλλειν δυνάται, καὶ οὐ πρὸς σύ τι, ὥσπερ σὺν τῇ ὑποκειμένῃ τοῖς ζώοις καὶ τοῖς φυτοῖς ὕλῃ ὁρῶμεν. πῶς δ' αὖ εἴη ὡρισμένος χρόνος αὐτῷ τοῦ μὴ εἶναι, ἐνδέχεσθαι ἡ ὑποκειμένου αὐτοῖς δυνατὸν ἄλλοτε εἰς ἄλλο μεταβάλλειν, μὴ μηδέποτε κατὰ τοῦτον αὖθις ἐπανελθεῖν εἰς τὸ εἶναι. ταῦτα ἀπορήσας ἐπάγει, ὅτι πρὸς τὸ διαίρεσιν τὸ αὐτὸ γενητόν τε ἅμα καὶ φθαρτὸν, ὅπερ ἔστιν αὐτῷ προκείμενον, ἀρκεῖ ἐνδέχεσθαι τὴν σὺν γενέσει καὶ φθορᾶς ὡρισμένον τινὰ χρόνον εἶναι, εἰ καὶ τοῦ μὴ εἶναι ὁ χρόνος οὐχ ὡρισται. εἰ γὰρ ἐκ θατέρου μέρους ὡρισται ὁ τοῦ εἶναι χρόνος, οὐκ ἀν εἴη ἀεὶ διὰ ὡς ἀρχὴν ἔχοντα καὶ τελευτήν, καὶ ὅντα δή που γενητὰ καὶ φθαρτά. ἀλλὰ πῶς ὁ ἀριστοτέλης οὐκ ἠρκέσθη τῷ εἶναι ὡρισμένον χρόνον τὴν σὺν γενέσει, πρὸς τὸ ἀκολουθεῖν ἀλλήλοις τὸ γενητὸν καὶ φθαρτὸν, ἀλλὰ καὶ τοῦ μὴ εἶναι ὡρισμένον χρόνον προσέθηκεν. ἢ εἴη ἂν φησιν ὁ ἀλέξανδρος ὅτι προστιθεὶς, οὐχ ὡς ὁμοίως ὡρισμένον εἶναι χρόνον τοῦτο τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι. ἀλλὰ τὸν μὲν τοῦ εἶναι ὡρισμένον ἤδη κυρίως, τὸν δὲ τοῦ μὴ εἶναι οὐχ οὕτως ὡρισμένον. ἀλλὰ τῷ μὴ εἰς ἄπειρον. πρὸς γὰ τὸ ἄπειρον αὐτιτιθεὶς τὸ ὡρισμένον, φησὶν, ὡρισται γὰρ ὁ χρόνος. σὺν ᾧ ὄντι ἔκαστον καὶ μὴ ὄντι. καὶ αἰωνιεῖται ἡ ἀπειρία. οὕτω γοῦν ὡρισμένος ὁ τοῦ μὴ εἶναι χρόνος, ὅτι οὐκ ἄπειρος. δυνατὸν δὲ καὶ οὕτως ὡρισμένον λέγειν τὸν τοῦ μὴ εἶναι χρόνον. ὡς μεμερισμένον τι ποσὸν ἔχων, ὥσπερ καὶ ὁ τοῦ εἶναι χρόνος. καὶ γὰρ καὶ τοῖς ἀφθόλοις σώμασι φανερὸν ὅτι. ὡρισται γὰρ ἑκάστου ὁ χρόνος τῇ κατ' ἡ μεταβολὴ σὺν ᾧ ἡμιόλιον ὄντι. εἴπερ ὑπ' σὺν αντίου καὶ ὡρισμένου εἰς σὺν αντίον καὶ ὡρισμένον ἡ μεταβολή· τὰ γὰρ μεταξὺ ταῦτα ὁπωσοῦν σὺν αντία ὄντι. σὺν τοῖς σωθέτοις δὲ αἰ σὺν τοῖς φυτοῖς ἢ τοῖς ζώοις, τὰ μὲν ὑπ' ὧν ὄντι ἀφθόλα σώματα, ταῦτα ὡρισμένον χρόνου ἔσται καὶ οὐκ ἔσται. δηλ. πλὴ εἰς τὰ σὺν αντία ἐκ μέρους μεταβολήν. ταῦτα δὲ οὐ κωλύεται αὖθις γενέσθαι κατ' εἶδος. οὐ γὰρ τὸ τῷ ἀριθμῷ ταυτὸν οἷόν τε σὺν τούτοις σώζεσθαι. οὐ δ' ἀδυνατον τὰ ὑπ' ὧν ἡμῖν τι μέχρι πλὴ φθορᾶς αὐτῷ αὖθις μεταβάλλοντα δέχεσθαι τὸ εἶδος ἐκεῖνο. οἷον τὰ τοῦ ἵππου στοιχεῖα μέχρι πλὴ τοῦ ἵππου φθορᾶς, εἰς τὰ τῆς σφηκῶν στοιχεῖα μεταβάλλοντα καὶ δεχόμενα τὸ τῆς σφηκῶν εἶδος, αὖθις τούτου φθαρέντος ἢ τοι ἀμέσως ἢ δι' ἄλλων μέσων, μεταβαλεῖ εἰς τὰ τοῦ ἵππου στοιχεῖα. καὶ δέξεται τὸ τοῦ ἵππου εἶδος. οὐμὴν καὶ ὑπ' ἀνάγκης ἔσται τοῦτο σὺν οργεία αὖθις ὥς φησιν ἀλέξανδρος, τῷ δυνάσθαι τὰ ὑπ' ὧν οἱ ἵπποι ἀλλάττεσθαι γενέσθαι, καὶ μὴ αὖθις ἵππον. αἰ δ' ἴσως δὲ μή εἰναί τι τῆς τοιούτων ἀδυνάτου, τῷ δυνάσθαι τὰ ὑπ' ὧν ὄντα ταῦτα ὑπ' ἀνάγκης μεταβάλλειν. ἴσως δὲ τῆς γενέσεως εἰς ἄπειρον προϊούσης, πλὴ μὲν ὕλῃ πλὴ αὐτῷ τῷ ἀριθμῷ, τὰ αὐτὰ δέχεσθαι εἴδη ἀναγκαῖόν ὄντι. καὶ τὸ σῶμα δὲ εἴπερ καὶ αὐτὸ αἰ δι' ὧν ὄντι. καὶ τὰ προσεχῶς τοῖς τῆς σωθέτων εἴδεσιν ὑποκείμενα τέσσαρα στοιχεῖα, οὐδὲν θαυμαστὸν, τὰ αὐτὰ τῷ ἀριθμῷ μένοντα, οἷ τὸ πῦρ ὕδωρ καὶ τὸ ὕδωρ, εἰ καὶ ἀλλοῖαν ἔχει πλὴ διάθεσιν, μεταβάλλειν εἰς τὰ σὺν αντία αὖθις τὸν αὐτὸν τρόπον διακείμενα καὶ ἡρμοσμένα, καὶ γίνεσθαι δεκτικὰ τῆς αὐτῆς εἰδῶν τοῦ ζώου ἢ τοῦ φυτοῦ. ὥστε ἀληθὲς καὶ κατὰ τῶν σωθέτων λέγειν, οὐ μόνον τοῦ εἶναι ὡρισμένον εἶναι χρόνον ἀλλὰ καὶ τοῦ μὴ εἶναι. εἰ τὰ μὲν στοιχεῖα καὶ τῷ ἀριθμῷ τὰ αὐτὰ, τὰ δὲ σύνθετα τῷ εἴδει. ἕπεσθαι γὰρ δοκεῖ.

β' ΣΤΩ ΔΗ᾽ τὸ ἐΦ᾽ ᾧ ε̄ ἀγέννητον. τὸ δὲ ἐΦ᾽ ᾧ ζ̄, γενητόν. τὸ δ᾽ ἐΦ᾽ ᾧ η̄, ἄφθαρτον. τὸ δ᾽ ἐΦ᾽ ᾧ θ̄, φθαρτόν. τὰ δὴ ζ̄ θ̄ δέλεκται ὅτι ἀκολουθεῖ ἀλλήλοις. ὅταν δὴ οὕτω κείμενα ὡς ταῦτα. δίον τὸ μὲν ζ̄ καὶ θ̄, ἀκολουθοῦντα. τὸ δὲ ε̄ καὶ τὸ ζ̄, μηδενὶ τῷ αὐτῷ. ἅπαντι δὲ θάτερον. ὁμοίως δὲ καὶ τὰ η̄ θ̄, ἀνάγκη καὶ τὰ ε̄ η̄ ἀκολουθεῖν ἀλλήλοις. ἔσω γὰρ τῷ η̄ τὸ ε̄, μὴ ἀκολουθοῦν. τὸ αὖρα ζ̄ ἀκολουθήσει. παντὶ γὰρ τὸ ε̄, ἢ τὸ ζ̄. ἀλλὰ μὴν ᾧ τὸ ζ̄ καὶ τὸ θ̄. τῷ αὖρα ἢ τὸ θ̄ ἀκολουθήσει, ἀλλ᾽ ὑπέκειτο ἀδιώατον εἶναι. ὁ δ᾽ αὐτὸς λόγος, καὶ ὅτι τὸ η̄ τῷ ε̄. ἀλλὰ μὴν οὕτως ἔχει τὸ ἀγέννητον ἐΦ᾽ ᾧ ε̄ πρὸς τὸ γενητὸν ἐΦ᾽ ᾧ ζ̄. καὶ τὸ ἄφθαρτον, ἐΦ᾽ ᾧ τὸ η̄. πρὸς τὸ φθαρτὸν, ἐΦ᾽ ᾧ θ̄.

Γ ροθέμενος δείξαι πάλιν ὅτι καὶ τὸ ἀγέννητον ἀΐδιόν ἐστι. καὶ τὸ ἄφθαρτον ἀΐδιον, ἐκ ἄλλως φησὶ δεῖν δείκνυσθαι, εἰ μὴ δειχθείη ἀκολουθοῦντα ἀλλήλοις τὸ ἀγέννητον καὶ τὸ ἄφθαρτον. δεῖν δὲ δείκνυσθαι, δειχθείη τὸ γενητὸν καὶ τὸ φθαρτὸν ἔπεσθαι ἀλλήλοις. καὶ δείκνυσι δι᾽ ἡμιθόλου παραδείγματος τοιούτου. εἰ δύο ὅροι λιφθεῖεν οὕτως ἔχοντες πρὸς ἀλλήλους, ὡς τὸ κατὰ αὐτίφασιν ἀλλήλοις αὐτικείμενα, ὥστε ἄμφω μὲν ἀδιώατον τῷ αὐτῷ ὑπάρχειν, παντὶ δὲ τῷ λιφθέντι ἀναγκαίως θάτερον ὑπάρχειν, ὡς πρὸ ἔχει τὸ γενητὸν καὶ τὸ ἀγέννητον, εἰ γὰρ μὴ κατὰ αὐτίφασιν αὐτίκειται ταῦτα, ὅτι καὶ τὸ ἀγέννητον κατάφασιν σημαίνει, ὅ μως οὕτως ἔχει ὡς ἄμφω μὲν μηδενὶ ὑπάρχειν, ἀδιώατον γὰρ τὸ αὐτὸ γενητὸν εἶναι καὶ ἀγέννητον, παντὶ δὲ τῷ λιφθέντι ἀνάγκη θάτερον ὑπάρχειν, ἢ γὰρ γενητὸν ἢ ἀγέννητον ἀνάγκη εἶναι ἅπαν τὸ ὄν, λιφθεῖεν δὲ καὶ ἕτεροι δύο ὅροι ὁμοίως ἐκείνοις ἔχοντες τὸ ἄφθαρτον καὶ τὸ φθαρτὸν, καὶ γὰρ καὶ ταῦτα οὐδενὶ μὲν ἄμφω ὑπάρχει, παντὶ δὲ ᾧ λιφθέντι θάτερον, τὴν δὲ ὕστερον λιφθέντων ὁ ἕτερος ἕπεται τῷ ἑτέρῳ, καὶ ὁ λοιπὸς ἕποιτ᾽ ἂν τῷ λοιπῷ. δείκνυσι δὲ αὐτὸ οὕτως ἔχον σὺν τῷ δευτέρῳ τὴν πρώτων ἀναλυτικῶν. δείκνυσι δὲ αὐτὸ διὰ τῆς εἰς ἀδιώατον ἀπαγωγῆς καὶ νεωτὶ σὺν τοῖς στοιχείοις. καθόλου γὰρ οὕτω γίνεται ἡ δείξις. καὶ τίθησι τὸ μὲν ε̄ ἀγέννητον. τὸ δὲ ζ̄ γενητόν. τὸ δὲ η̄ ἄφθαρτον. τὸ δὲ θ̄ φθαρτόν. ἐπεὶ τοίνυν δέδεικται ἑπόμενα ἀλλήλοις τὸ γενητὸν καὶ τὸ φθαρτόν. τοῦτ᾽ ἔστι τὸ ζ̄ καὶ τὸ θ̄, λέγω ὅτι ἕπεται ἀλλήλοις καὶ τὰ λοιπά. καὶ τῷ αὐτῷ ὑπάρξει τό, τε ε̄ καὶ τὸ η̄, ταυτὸ δ᾽ ἐστὶν εἰπεῖν τὸ ἀγέννητον καὶ τὸ ἄφθαρτον. εἰ γὰρ μὴ ἕποιτο τῷ η̄ τὸ ε̄, τουτέστι τῷ ἀφθάρτῳ τὸ ἀγέννητον, ἀνάγκη τῷ η̄ ἕπεσθαι τὸ ζ̄. παντὶ γὰρ ἢ τὸ ζ̄ ἢ τὸ ε̄ ἀνάγκη ὑπάρχειν. ἕπεται αὖρα τῷ ἀφθάρτῳ τὸ γενητόν. ἀλλὰ τὸ ζ̄ ἢ τὸ θ̄, ταυτὸ δ᾽ ἐστὶ λέγειν τὸ γενητὸν καὶ φθαρτὸν δέδεικται ἕπεσθαι ἀλλήλοις. ὥστε καὶ τῷ η̄ τουτέστι τῷ ἀφθάρτῳ τὸ θ̄ τουτέστι τὸ φθαρτὸν ἕψεται. ὅπερ ἐστὶν ἀδιώατον. ὑπέκειτο γὰρ οὕτως ἔχειν ἀλλήλοις τὸ η̄ καὶ τὸ θ̄, ὡς μηδενὶ ἅμφω ὑπάρχειν. ἀλλὰ μὴν καὶ τὸ φθαρτὸν καὶ τὸ ἄφθαρτον οὕτως ἔχει πρὸς ἄλληλα. ἀδιώατον γὰρ τὸ αὐτὸ ἅμα φθαρτὸν καὶ ἄφθαρτον εἶναι. εἰ τοίνυν ὑποθεμένοις ἡμῖν μὴ ἕπεσθαι τὸ ε̄ τῷ η̄, τουτέστι τὸ ἀγέννητον τῷ ἀφθάρτῳ, ἀδιώατόν τι ἀπέβη τὸ αὐτὸ φθαρτόν τε ἅμα καὶ ἄφθαρτον εἶναι, δηλονότι ἀδιώατόν ἐστι καὶ τὸ ὑποτεθέμενον. ἕπεται αὖρα τῷ η̄ τὸ ε̄. τουτέστι τῷ ἀφθάρτῳ τὸ ἀγέννητον. ὁμοίως δὲ πλὴν αὐτοῖς ἀνάγκη καὶ τῷ ε̄ τὸ η̄ ἕποιτ᾽ ἄν, τουτέστι τῷ ἀγενήτῳ τὸ ἄφθαρτον. εἰ γὰρ μὴ ἔστω, τὸ θ̄ δηλονότι τὸ φθαρτόν. ἀνάγκη γὰρ θάτερον. τῷ δὲ θ̄ δέδεικται τὸ ζ̄ ἑπόμενον, τουτέστι τῷ φθαρτῷ τὸ γενητόν. καὶ τῷ ε̄ αὖρα τὸ ζ̄ ἕποιτ᾽ ἄν. καὶ ἔστω τὸ αὐτὸ γενητὸν καὶ ἀγέννητον. ὅπερ ἐστὶν ἀδιώατον. ἕπεται αὖρα καὶ τῷ ἀγενήτῳ τὸ ἄφθαρτον. ὥστε καὶ τὸ ἀΐδιον. τὸ γὰρ ἀγέννητον ἅμα καὶ ἄφθαρτον ὄν, ἀΐδιόν ἐστιν, οὔτε ἀρχὴν ἔχον τοῦ εἶναι εἴπερ ἀγέννητον, οὔτε τελευτὴν εἴπερ ἄφθαρτον. εἰ τοίνυν τὸ γενητὸν καὶ φθαρτὸν οὐ μόριον τοῦ εἶναι ἔχοντα οὐκ ἀΐδια, οὔτε γενητόν τι ἄφθαρτον εἶναι δυνατὸν, οὔτε ἀγέννητον φθαρτόν. ὡς μὴ τὸ αὐτὸ ἀΐδιον ἅμα καὶ μὴ ἀΐδιον εἴη. καὶ οὕτω δι᾽ μέσου τοῦ ἀϊδίου πλὴν τοσαύτην δείξιν προήγαγε, τοῦ μήτε ἀγέννητόν τι φθαρτὸν εἶναι, μήτε γενητὸν ἄφθαρτον. ὃ δὲ πρότερον ὡδὶ τοῦ οὐρανοῦ ἔδειξεν. ὅτι ἀγέννητος καὶ ἄφθαρτος, ἐκ τοῦ μηδὲν ἔχειν ἐναντίον, νεωτὶ καθόλου προύθετο σκοπεῖν, ὡς δι᾽ καθόλου ἀποδείξεως καὶ ᾧ οὐρανῷ προσηκούσης, ὅτι οὔτε ἀγέννητόν τι φθαρτόν. οὔτε γενητὸν ἄφθαρτον.

Τ Ο᾽ ΔΕ᾽ φάναι μηδὲν κωλύειν γενόμενόν τι ἄφθαρτον εἶναι μὴ ἀγέννητον ὂν φθαρῆναι ἅπαξ ὑπαρχούσης τῆς μὲν τῆς γενέσεως, ᾗ δὲ τῆς φθορᾶς, ἀναιρεῖν ὅλην τὴν δεδομένων τι. ἢ γὰρ ἄπειρον, ἢ ποσόν τινα ὡρισμένον χρόνον, δυνατὸν ἅπαντα ἢ ποιεῖν, ἢ πάσχειν. ἢ εἶναι. ἢ μὴ εἶναι καὶ τὸν ἄπειρον δι᾽ ὅλου, ὅτι ὡρισταί πως ὁ ἄπειρος χρόνος οὗ οὐκέστι πλεῖον. τὸ δὲ πῇ ἄπειρον, οὔτε ἄπειρον, οὔτε ὡρισμένον.

Δ ειχθέντος ὅτι ἕπεται ἀλλήλοις τὸ γενητὸν καὶ τὸ φθαρτὸν, καὶ αὖθις τὸ ἀγέννητον καὶ ἄφθαρτον, καὶ ὅτι τὸ ἄφθαρτον ἀΐδιον ὂν οὐ δυνατὸν γενητὸν εἶναι, καὶ τὸ ἀγέννητον αὖθις ἀΐδιον ὂν εἴπερ καὶ ἄφθαρτον, οὐ δυνατὸν φθαρτὸν εἶναι, ἅπαντα ἤδη πρὸς δοῦ νομίζοντας μηδὲν κωλύειν γενητόν τι ἅμα καὶ ἄφθαρτον τὸ αὐτὸ λέγειν ὡς ὁ πλάτων κατὰ τὸ φαινόμενον καὶ γενητὸν διαῤῥήδην λέγων τὸν κόσμον σὺν τῷ δημιουργοῦ, καὶ οὐ μὰν ποτε διαλυθησόμενον. τὸ γὰρ καλῶς ἁρμοσθὲν φησι καὶ καλῶς ἔχον λύειν ἐθέλειν, φαύλου. ἢ ἀγέννητον ἅμα καὶ φθαρτόν. ὅπερ οὐλεὶς μὲν δοκεῖ λέγειν. ἀλλ᾽ ὁ ἀριστοτέλης κατὰ κοινότητα λόγου, καὶ ταύτην ἐλέγχοις ὑποτίθησι πλὴν ὑπόθεσιν. ὁ δὲ ἀλεξανδρος

καὶ ταύτην

καὶ ταύτην ἐκ συλλογισμοῦ τῷ πλάτωνι ἐπιτίθησιν. τῷ γὰρ λέγοντί φησι τὸ γλυκὺ ἄφθαρτον, καὶ τὸ ἀγένητον φθαρτὸν ἕπεται λέγειν. καὶ πρῶτον ἐπιφέρει τοῖς λέγουσι δεῖν αἱρεῖν τι τῶν εἰρημένων. ὅτι γὰρ ἄτοπον τὰ δοθέντα αἱρεῖν, φανερόν. ὅτι δὲ τοῦτο δεῖ. τὸ γὰρ δοθὲν καὶ ἀπολειφθὲν αἱρεῖν φασὶ δεῖν λέγοντας, ὁ ἀλέξανδρός φησιν ἕπεσθαι δηλονότι ἀλλήλοις τὸ γλυκὺ καὶ φθαρτόν, καὶ ἀγένητον καὶ ἄφθαρτον. τὰ γὰρ ἤδη διειλημμένα αἱρεῖται μετὰ τῶν λεγόντων τὸ γλυκὺ ἄφθαρτον, ἢ τὸ ἀγένητον φθαρτόν. ὑπολαμβάνει δὲ καὶ αὐτὸν ἐν τοῖς ἑπομένοις ἑτέρας ἄπορίας αἱρούμενος λέγειν. ἢ γὰρ ἀριστοτέλης. ἤτοι γὰρ φησιν ἄπειρον ἢ ποσόν τινα ὡρισμένον χρόνον δύνασθαι πάντα ἢ ποιεῖν ἢ πάσχειν. καὶ μάτην ἡ γὰρ αἰτιολογικὴ σύνδεσμος ὁ ἀλέξανδρος ἀφαιρεῖ, διαρρήδην συμπλέκοντα τὸ δοθέν, ὅπερ αἱρεῖται μετὰ τῶν οὕτω λεγόντων. εἰ γὰρ δέδοται καὶ ὁμολόγηται τοδὶ τῷ ἐν χρόνῳ ποιούντων ἢ πασχόντων, τὸ ὑπὲρ χρόνον εἶη ἂν ἔξω τοῦ λόγου. ὅτι δὲ ἄπειρον χρόνον ποιεῖ ἢ πάσχει, ἢ ὡρισμένον. ὡρισμένον μὲν γὰρ ὁ τοσονοῦν χρόνον δεῖ ποιεῖν ἢ πάσχειν, ἢ εἶναι ἢ μὴ εἶναι. ὡρισμένος δὲ χρόνος ἐστίν, ἁπλῶς μὲν ὁ ἀρχὴν καὶ τελευτὴν ἔχων. ἤδη δὲ καὶ τὸ ἄπειρον ὡρισται τῇ ἐπινοίᾳ καὶ τῷ ἀεί. ὡς δὲ ἀλέξανδρός φησι καὶ τῷ μηδὲν εἶναι ἔξω αὐτοῦ. οὐ δεῖ δὲ ἄπειρον τὸ ἐνεργείᾳ ὂν ἄπειρον λαμβάνειν, ἀλλὰ τὸ ἐνδεχόμενον ἄπειρον. ἐνεργείᾳ γὰρ ἄπειρος χρόνος οὐκ ἔστιν. ἀλλὰ κατὰ τὸ προϊέναι εἰς ἄπειρον θεωρεῖται. ὅπερ τοίνυν ἔφη ἄπειρον ὁ ἀριστοτέλης, οὗ μηδὲν δεῖ πλέον. τοῦτο γὰρ εἰς ἄπειρον προϊόντος οὐκ ἔστι πλέον. τὸ γὰρ κατ' ἐνέργειαν ἄπειρον οὐκ ἔστιν. οὐ δὴ ὅλως τοιοῦτον ἄπειρον. ὡς ἐν τῷ τείτῳ τῆς φυσικῆς ἀκροάσεως δέδεικται. τοῦτο δὲ εἰς ἄπειρον προϊόντος καὶ εἰ ἀεὶ ἔστι ἔξω αὐτοῦ λαμβανόμενον, ὅμως καὶ ὅπερ μέρος ἐστὶν αὐτοῦ. καὶ τοῦ ὅλου τούτου οὐδέν ἐστιν ἔξω. ὥσπερ οὐ δὴ ἔστι πλέον αὐτοῦ. καὶ τοῦτό ἐστιν ὁ ἄπειρος χρόνος, ὅπερ εἰς ἄπειρον ὡρισται καὶ αὐτὸ κατὰ τὸ ἀδιάλειπτον, καὶ κατὰ τὸ μὴ εἶναι πλέον αὐτοῦ. τὸ δὲ πεπερασμένον, ὁποῖόν ἐστι τὸ γλυκὺ μὲν ἄφθαρτον δὲ, ἢ τὸ ἀγένητον μὲν φθαρτὸν δὲ, οὐδαμῶς ἀόριστα ὡρισται, οὐθ' ὡς ἀρχὴν καὶ τελευτὴν ἔχον. ὡς τὸ πεπερασμένον. οὐθ' ὡς τοῦ μὴ πλέον εἶναι. ὡς τὸ ἄπειρον. ἑκατόρου γάρ ἐστιν ἔξω πλείων χρόνος. οὐμὼν ὧν ἑκατόρου μέρους. ἀλλὰ τοῦ μὲν γλυκοῦ καὶ ἀφθάρτου πρὸ τοῦ εἶναι. τοῦ δὲ ἀγλυκέος καὶ φθαρτοῦ μετὰ τὸ εἶναι. ἅμα δέ φησιν ὁ ἀλέξανδρος καὶ συνάσειν τινὰ λύει δυνατὸν ἐπενεχθῆναι πρὸς ἑκάτερον τοῦ γλυκοῦ καὶ φθαρτοῦ ποιοῖ μὲν ἂν ἀκολουθίαν. εἰ γὰρ διότι ὡρισμένος ἀμφοῖν ὁ χρόνος τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι, δῆλον ἄρα ἀλλήλοις ἕπεται, εἰ τοῦ μὲν γλυκοῦ καὶ ἀφθάρτου τὸ εἶναι κατὰ μὲν τὴν ἀρχὴν ὡρισται. οὐ μὴν δὲ καὶ κατὰ τὸ τέλος, τοῦ δὲ ἀγλυκέος καὶ φθαρτοῦ τὸ ἀνάπαλιν, ἀνάγκη ὡρισμένον χρόνον ἔχοντα ἕπεσθαι ἀλλήλοις. ταύτην οἶν φησι λύει τὴν συνάσειν, ὅτι τοῦ μὲν ποιοῦν ἢ πάσχον καὶ ὂν ἢ μὴ ὄν, ὡρισμένον χρόνον ταῦτα ἔχειν, τὸ δὲ τὸ ἄπειρον μηδαμῶς ὡρίσθαι, οὐθ' ὡς τὸ ἑκατόρῳθεν πεπερασμένον. οὐθ' ὡς τὸ ἀδιάλειπτον.

Ε΄ ΤΙ ΤΙ μᾶλλον ὧδι τῷδε τῷ σημείῳ ἀεὶ ὂν πρότερον, ἐφθαρη· ἢ μὴ ὂν ἄπειρον ἐγένετο. εἰ γὰρ μηδὲν μᾶλλον ἄπειρα δὲ τὰ σημεῖα, δηλονότι ἄπειρον χρόνον ἴσως τι γλυκὺ καὶ ἄφθαρτον. δυνατὸν αὖρα μὴ εἶναι τὸ ἄπειρον χρόνον. ἅμα γὰρ ἔξει δυνάμει. τοῦ μὴ εἶναι καὶ εἶναι. τὸ μὲν πρότερον, εἰ φθαρτόν. τὸ δὲ ὕστερον, εἰ γλυκύτον. ὥστ' ἐὰν ὑπάρχειν θῶμεν ἀλλήλοις, τὰ ἀντικείμενα ἅμα ὑπάρξει.

Δ εἰρηκότος ὅτι ὁ λέγων γλυκύτον τι ἄφθαρτον, ἢ ἀγένητον φθαρτὸν, αἱρεῖ τι τῶν τεθέντων ἢ δοθέντων, δηλονότι τὰ ἐν χρόνῳ ποιοῦντα ἢ πάσχοντα, ἤτοι ἄπειρον ἢ πεπερασμένον χρόνον ποιεῖν ἢ πάσχειν, ἢ εἶναι ἢ μὴ εἶναι, τὸ γὰρ γλυκὺ μὲν ἄφθαρτον δὲ, οὔτ' ἄπειρον χρόνον οὔτε πεπερασμένον τὸ εἶναι ἔχει ἢ τὸ μὴ εἶναι, τούτου τοίνυν διειλεγμένου, καὶ δι' ἑτέρου διείκνυσιν ἐπιχειρήματος τὸν οὕτω λέγοντας αἱρεῖν τι τῶν ὡμολογημένων, τὸ δηλονότι ἀδύνατον εἶναι τὸ αὐτὸ ἅμα εἶναι καὶ μὴ εἶναι. καὶ γὰρ ὡμολόγηται μὲν ὅτι δυνατὸν δεῖ εἶναι. συμβαίνει δ' αὐτοῖς ἀδύνατον. εἴπερ ἀγένητόν τι τεθέμενοι, τοῦτ' ἔστιν ἀεὶ ὄν, ἔπειτα φησὶν αὐτὸ ποτε φθαρήσεσθαι. ἀπείρων δὲ ὑπαρχόντων τῷ νῦν ἐν ἀπείρῳ χρόνῳ ἐν ᾧ πρότερον δεῖ τὸ ἀγένητον, ἢ ἐν πᾶσι τοῖς νῦν ὁμοίως δυνάμει ἔχει τὴν φθοράς, ἢ ἐν τινι ὡρισμένῳ. ἀλλὰ μὴν δεῖν ἀρτίως ἄτοπον· τί γὰρ αὖ εἴη, δῆλον τί μᾶλλον ἐν τούτῳ τῷ νῦν ἢ ἐν τούτῳ φθαρήσεται, τὸ ἐν ἀπείρῳ πρὸ τούτου χρόνῳ ὑφισάμενον. δῆλον δεῖν καὶ ὁ ἀριστοτέλης δεῖν παρεμφλώσας, δῆλον τὸ τί μᾶλλον ἐν τούτῳ τῷ σημείῳ τὸ ἀεὶ ὂν πρότερον, φθείρεσθαι, ὧδι θάτερον τῶν μορίων μετέβη, δηλονότι τὸ ἐν πᾶσι τοῖς νῦν ὁμοίως δυνάμει ἔχειν τὴν φθορὰς εἴπερ οὐ μᾶλλον ἐν τούτῳ ἢ ἐν τούτῳ, ἀπείρων δὲ τῶν νῦν ὑπαρχόντων ἐν τῷ ἀπείρῳ χρόνῳ τῷ πρὸ τούτου, ἵνα τὸ ἀγένητον δυνάμει ἔχον τὸ φθείρεσθαι, καὶ ἵνα ἀγένητον μὲν φθαρτὸν δὲ, ὥστε εἰ ὑπάρχειν θῶμεν τὰ δυνάμενα, τὸ ἀγένητον ἔσται μὴ ὄν, ἅμα αὖρα ὂν καὶ μὴ ὂν ἔσται. ὅπερ ἐστὶν ἀδύνατον. ὁμοίως δὲ καὶ τὸ γλυκὺ μὴ ὂν ἄπειρον χρόνον, οὐ μᾶλλον ἐν τούτῳ ἢ ἐν τούτῳ τῷ νῦν δυνάμει ἔχε τὸ γίνεσθαι, ἀλλ' ἐν παντὶ ὁμοίως. εἰ τοίνυν καὶ τούτου μὴ ὄντος μὲν ἐνδεχόμενον δυνάμει δ' ἔχοντος τὸ εἶναι, ὑπάρχειν θῶμεν τὸ δυνάμενον, ἔσται ἅμα τὸ αὐτὸ καὶ ὄν. ὅπερ ὁμοίως ἀδύ-

νατον. εἰ τοίνυν λῶσθέσθαι μὴ ὑπάρχειν τὸ δυνατὸν ψευδὲς ὄν. οὐμὴν ἀδύνατον, τὸ δὲ ἅμα εἶναι τὸ αὐτὸ καὶ μὴ εἶναι οὐ μόνον ψευδές ἐστιν ἀλλὰ καὶ ἀδύνατον, δῆλον ὅτι οὐ τῷ λῶσθέσθαι ὑπάρχειν τὸ δυνατὸν ὅπερ ἐστὶ ψευδὲς καὶ οὐκ ἀδύνατον, ἔπεται τὸ ἀδύνατον, ἀλλὰ τῷ ἔχειν δύναμιν. ἄπειρον τοῦ αὐτικειμένου πρὸς τοῦτον χρόνον. ἔστιν τοίνυν ἀδύνατόν ἐστιν. ἀδύνατον ἄρα εἶναί τι γενητὸν ἄφθαρτον, ἢ ἀγένητον φθαρτόν. εἰ ὅπερ αὐ λέγομεν πῶς δύναμιν τοῦ αὐτικειμένου ταῦτα ἔχειν τὸ πρὸς τὸ ἄπειρον χρόνον. οὗτος μὲν ὁ συνοπτικὸς ὅλου τοῦ λόγου. κατὰ δὲ πῶς λέξιν, τὸ ἢ μὴ ὂν ἄπειρον ἐγένετο, ἐλλειπτικῶς εἰρῆσθαί φησιν ὁ ἀλέξανδρος. τὸ δὲ τέλειον εἶναι, ἢ μὴ ὂν ἄπειρον χρόνον ἐγένετο. ἴσως δὲ τὸ ἄπειρον αὐτὶ τοῦ ἐπ' ἄπειρον εἰρημένου ἐπιρρηματικῶς, κατ' οὐδὲν ἐλλείπεται. σημεῖον δὲ καλεῖ, ἐν οἷς φθαρτόν ἐστιν ἢ γενητόν. ὀφεῖ δὲ φθείρεσθαι μὲν καὶ γίνεσθαι ἐν χρόνῳ, εἶναι δὲ γενητὸν καὶ φθαρτὸν αὐτὸ χρόνου μὴ ἐν τῷ νῦν, ὡς ἐν τῇ φυσικῇ ἀκροάσει δέδεικται. βραχέως δὲ σωθεὶς ὁ ἀριστοτέλης τὸ ἐπιχείρημα, καὶ παντὸς λύσαι προθέμενος, δῆλον ὅτι τὸ ἀγένητον μὲν φθαρτὸν δὲ, καὶ τὸ γενητὸν μὲν ἄφθαρτον δὲ, ἀσάφειαν ἐποίησεν ἐν τῷ, δύναται ἄρα μὴ εἶναι ἄπειρον χρόνον, μὴ προσθεὶς καὶ τὸ εἶναι. ὅπερ κατὰ τὸ γενητὸν μὲν ἀφθάρτου δὲ ἀληθοῦν, ὡς φανερὸν πρὸ αὐτοῦ, καὶ λῶσθατόδου ζωνυούμενον, δῆλ. βραχύτητα παρέλιπεν.

Ε" ΤΙ ΔΕ καὶ ἔστιν ὁμοίως, ἐν ἅπαντι σημείῳ ὑπάρξει. ὥστε ἄπειρον χρόνον τὸ μὴ εἶναι καὶ τὸ εἶναι ἕξει δύναμιν. ἀλλὰ δέδεικται ὅτι ἀδύνατον ἔστιν.

Ο᾽ ἀλέξανδρός φησι σαφέστερον αὖ λῶ εἰρημένον ἔστιν, εἰ αὐτὶ τοῦ ἔτι ἔκειτο τὸ ὁμοίως γὰρ ἐν παντὶ χρόνῳ ὑπάρξει. οὐ γὰρ νῦν φησι δείκνυσι ἔστιν. ἀλλ' ὡς ἐπόμενον τοῖς δεδειγμένοις ἔλαβεν, ἴσως δὲ οὐχ ὡς παρεπόμενον τοῖς εἰρημένοις εἴρηται. ἀλλ' ἐστόν τι ἀποπόστορον συμβαίνει, δῆλον ὅτι οὐχ ἅμα εἶναι καὶ μὴ εἶναι ἐν τινι μορίῳ τοῦ χρόνου μόνον, ἀλλὰ καὶ ἄπειρον χρόνον ἔστιν συμβαίνει. ἐν παντὶ γὰρ τοῦ ἀπείρου χρόνου νῦν δύναμιν ἔχει τοῦ εἶναι καὶ μὴ εἶναι, τοῦ μὲν μετὰ τῆς δυνάμεως καὶ πῶς ἐνέργειαν ἔχον, τοῦ δὲ πῶ δύναμιν μόνῳ. οὐ δὲ γὰρ μᾶλλον ἐν τούτῳ τῷ νῦν ἢ ἐν τούτῳ. εἰ τοίνυν λῶσθεῖη ὑπάρχειν αὐτῷ ὅπερ δύναται, ἄπειρον χρόνον ἅμα ἕξει τὸ εἶναι καὶ τὸ μὴ εἶναι. ὁ δὲ ἀριστοτέλης ἠρκέσθη τῷ δῆλονότι ἄπειρον χρόνον δύναμιν ἔχειν τοῦ εἶναι καὶ μὴ εἶναι ἐπ' ἄπειρον. ἔτι γὰρ ἔπεσθαι κατ' ἐνέργειαν εἶναι καὶ μὴ εἶναι ἐν ἀπείρῳ χρόνῳ. εἰ ὅπερ δύναται λῶσθώμεθα ὑπάρχειν αὐτῷ.

Ε" ΤΙ ΕΙ᾽ΓΕΡ πρότερον ἡ δύναμις ὑπάρχει τῆς ἐνέργειας. ἅπαντι ὑπάρξει τὸν χρόνον, καὶ ἐν ἀγένητον λῶ καὶ μὴ ὂν τὸν ἄπειρον χρόνον γίνεσθαι δὲ δύναμενον. ἅμα δὴ οὐκ λῶ. καὶ τοῦ εἶναι δύναμιν εἶχε, καὶ τοῦ τότε εἶναι, καὶ ὕστερον ἄπειρον χρόνον.

Κ αἰ δὲ τούτου τοῦ ἐπιχειρήματος τὸ αὐτὸ δείκνυσιν. ὅτι εἰ γενητόν τι ἄφθαρτον λῶσθεῖη, ἀνάγκη αὐτὸ ἄπειρον χρόνον δύναμιν ἔχειν τοῦ εἶναι καὶ μὴ εἶναι. ἔτι δ' ἔπεσθαι ἄπειρον χρόνον ἅμα εἶναι καὶ μὴ εἶναι. ὅπερ ὡς φανερὸν παρέλιπεν. δείκνυσι δὲ ὅτι ἄπειρον χρόνον δύναμιν ἔχει τοῦ εἶναι καὶ μὴ εἶναι, λαβὼν ὡς φανερὸν, ὅτι ἐν οἷς ἔστι τὸ δυνάμει καὶ τὸ ἐνέργεια ἐν τῷ αὐτῷ οἷον τῷ εἶναι καὶ μὴ εἶναι, ἐν τούτοις ἀεὶ τὸ δυνάμει προηγεῖται τοῦ ἐνέργεια, καὶ ἡ τοιαύτη δύναμις τῆς ἐνέργειας. δυνάμει γὰρ φαμὲν τὸ δυνάμενον εἰς ἐνέργειαν ἀχθῆναι. ἔστιν τοίνυν γενητὸν καὶ πρὸ τοῦ γενέσθαι τὸν ἄπειρον ἐκεῖνον χρόνον. οὐ ἀγένητον λῶ. καὶ τοιοῦτον λῶ, ὡς τὸ σημαινόμενον τοῦ εἶναι ἔχειν, καὶ δύναμιν εἰς τὸ γενέσθαι παραχεῖν, λῶ εἶχεν. ἔχει δὲ καὶ ἤδη γενόμενον. τὸ γὰρ γενητὸν δύναται εἶναι καὶ γενητὸν εἶναι. ἀλλ' οὐ τότε προϋπάρχει τὸ δυνάμει τοῦ ἐνέργεια. ἔχει τοίνυν τοῦ εἶναι δύναμιν καὶ πάντα τὸν πρὸ τοῦ γενέσθαι ἄπειρον χρόνον. ἐν ᾧ οὔπω λῶ. ἅμα γὰρ οὐκ λῶ. καὶ τοῦ εἶναι δύναμιν εἶχεν, καὶ τοῦ γενέσθαι ἔτι ἀγένητον ὄν. ὑπάρξει δὲ αὐτῷ τὸ δυνάμει καὶ γενητῷ ἀγενήτῳ ὑπάρχοντι. ὅπερ βραχέως ὑπέδειξεν ὁ ἀριστοτέλης, ὅτι τοῦ ἄπαντα ὑπάρξει τὸν χρόνον, καὶ ὃν ἀγένητον λῶ καὶ μὴ ὄν, αὐτὶ τοῦ μὴ ὄν οὐκέτι ἀγένητον ἀλλ' ἤδη γενητόν. καὶ οὕτως ἔχει δύναμιν ὡς ἄπειρον χρόνον δυνάμενον ὄν. εἴπερ καὶ ὂν δύναται εἶναι. καὶ ἅμα δὲ μετὰ τοῦ μὴ εἶναι δύναμιν ἔχει οὐ μόνον τοῦ μὴ εἶναι, ἀλλὰ καὶ τοῦ εἶναι, καὶ τοῦ πρότερον. καὶ τοῦ ὕστερον, καὶ ἁπλῶς τοῦ ἀεὶ εἶναι. τῷ γὰρ εἰς ἄπειρον μὴ ὄντι τὴν αὐτὴν εἶη αἰτίαν. τοῦ τότε μὲν γίνεσθαι καὶ οὕτως ὡς λέγεται, οὐμὴν δὲ πρότερον ἢ ὕστερον. ἄπειρον ἄρα χρόνον δύναμιν ἔχει τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι. ὧ τινι ἔπεται, εἰ εἰς ἐνέργειαν ἀχθείη ὅπερ δύναται, τὸ ἄπειρον χρόνον καὶ εἶναι καὶ μὴ εἶναι. τὸ δὲ εἰς ἄπειρον χρόνον δύναμιν ἔχον τοῦ εἶναι. τὸ αὐτὸ ἄπειρον πρὸ τοῦτον χρόνον μὴ ἐν λῶ. εἴπερ οὐδεμία ἀνάγκη τοῦ ἐν τούτῳ γενέσθαι τῷ χρόνῳ, ἀλλ' οὐ πρότερον ἢ ὕστερον. μὴ τοῦτό φησιν ὁ ἀλέξανδρος τὸ συμπέρασμα ἐπήγαγεν μὲν τῷ ἀγενήτῳ. ἑπομένως δὲ καὶ τῷ ἀφθάρτῳ συνταχθήσεται. ἴσως δὲ καὶ αὐτὸς δοκεῖ συνωνυμῆσαι, ὅτι ἡ μὲν λέξις αὐτὴ ἀμφοῖν προσαρμόττει. τὸ δὲ ἑπόμενον ἐπιχείρημα πρὸς ἄλλό τι ἀφορᾷ. ὡς γὰρ ἄφθαρτον καὶ πρὸ τοῦ γενέσθαι μὴ ὂν δύναμιν εἶχεν εἰς ἄπειρον τοῦ εἶναι. ὡς δ' ἀγένητον μὲν, φθαρτὸν δὲ, ἅμα τοῦ εἶναι δύναμιν ἔχει καὶ τοῦ μὴ εἶναι.

Φ ΑΝΕΡΩΝ δὲ καὶ ἄλλως, ὅτι ἀδύνατον φθαρτὸν ὄν, μὴ φθαρῆναί ποτε. ἀεὶ γὰρ ἔσται ἅμα καὶ

φθαρτὸν

φθαρτὸν καὶ ἄφθαρτον συνεχὲς ὥστε ἅμα ἔσεσθαι δυνατὸν, ἀεί τι ἔσται, καὶ μὴ ἀεί. φθείρεται
ἄρα ποτὲ τὸ φθαρτόν. καὶ εἰ γένηται, γέγονε. δυνατὸν γὰρ γεγονέναι, καὶ μὴ ἀεὶ ἄρα ἔσται.
Τ οὐ πλάτωνος δὲ τῷ τιμαίῳ εἰπόντος, τὸ μὲν δεθὲν ἅπαν λυτόν. τὸ δ' εὖ κεκλῶς ἁρμοσθὲν καὶ κεκλῶς
ἔχον. λύειν ἐθέλειν κακοῦ, καὶ αὖθις ὡς ἀπὸ τοῦ δημιουργοῦ πρὸς τοὺς οὐρανίους θεοὺς, ὦ θανάτοι μὲν
οὐκ ἐστὲ τοιαῦτα, οὔτι γε μὴν λυθήσεσθέ γε οὐδὲ τεύξεσθε θανάτου μοίρας, κατὰ τὸ φαινό-
μενον δοκεῖ λέγειν, ὅτι διαλυτὸς καὶ θνητὸς ὑπάρχων ὁ κόσμος τῇ ἑαυτοῦ φύσει καὶ φθαρτὸς, οὐ μὴν
φθαρήσεται. πρὸς δὲ τοιοῦτον τοῦ λόγου φαινόμενον ἀντιλέγων ὁ ἀριστοτέλης, φανερόν φησιν.
ὅτι ἀδύνατον φθαρτόν τι ὂν τῇ ἑαυτοῦ φύσει μὴ φθαρῆναί ποτε. εἰ γὰρ ἔστιν, ἅμα καὶ ἀεὶ ἔσται
φθαρτὸν καὶ ἄφθαρτον. τοῦτ' ἔστιν ἀΐδιον ἔσται τὸ αὐτὸ καὶ φθαρτόν. καὶ ἅμφω συνεπεται. τοῦτ' ἔστι
κατὰ συμβεβηκός. καὶ οὐ δυνάμει μόνον φθαρτόν. ἀλλ' ὡς ἀΐδιον οὕτω καὶ φθαρτόν. ὅπερ συμβαί-
νειν ἄτοπον, φθαρτὸν εἶναι τὸ ἀΐδιον οὕτως, ὡς πεφυκὸς διαλύεσθαι. καὶ εἰ ἄτοπον. ὅτι δεῖ τὸ
πεφυκὸς εἰς συμβεβηκὸς ἀφθαρῆναί ποτε. ἀλλὰ συμβεβηκὸς ὂν ἄτοπον, ὅταν συμβεβηκὸς ἅμφω θεωρῆται.
δυνάμει μὲν γὰρ ἔχειν τὴν ἀντικειμένων τὸ αὐτὸ δυνατόν. κατὰ ἀΐδιον ἔχει. ἅμα δὲ τὰς συμβεβηκότας
ἔχειν ἀδύνατον. τῷ ἀληθεῖ τοίνυν τὸ συνεχὲς προσέθηκεν. ὁ δὲ ἀλέξανδρος ἀναβιβάζειν
βούλεται πάλιν λέξιν οὕτως, ἀεὶ δὲ ἔσται συνεχές. ἅμα δὲ καὶ φθαρτόν. καὶ μᾶλλόν φησιν ἐκ τῆς
λέξεως δοκεῖ ὕδωρ ἐμφαίνεσθαι. εἰ γὰρ ἔσται ἀεὶ συνεχὲς ὂν φθαρτὸν, τῷ μὲν ἀεὶ εἶναι δυνάμει
ἕξει, ὅτι καὶ ἔστιν ἀεί. τῷ δὲ μὴ ἀεὶ εἶναι. ὅτι φθαρτὸν ὑπόκειται. φθαρτὸν γὰρ ὕδωρ. τὸ δυνάμει
ἔχον τῷ μὴ ἀεὶ εἶναι, ἢ τῷ ποτὲ μὴ εἶναι. οὕτως οὖν ἔσται ποτὲ δυνάμει ἔχον. ὥστε ἅμα εἶναι καὶ
μὴ εἶναι. ἴσως δὲ συμβεβηκὸς ὂν ὕδωρ. ἔσται γὰρ ἀΐδιον καὶ φθαρτὸν συνεχές. ὥ τινι ἕπεται τὸ
δηλονότι ἅμα ἀεί τε εἶναι καὶ ἀεὶ μὴ εἶναι. ὅπερ ὕδωρ πῶς αὐτίφασιν ἅμα ἀληθεύειν. ὁ δὲ τὸ δυνάμει
μόνον ἔθηκεν, ὡς συμβαίνοντος τῷ συνεχεῖ οὕτως τῷ δυνάμει. τὸ γὰρ συνεχὲς καὶ δυνάμενον.
γράφεται δὲ καὶ οὕτω φησὶν ὁ ἀλέξανδρος. ἀεὶ γὰρ ἔσται καὶ ἅμα ἄφθαρτον συνεχές. μὴ εἴη αὖ φησιν
ὁ νοῦς τῷ λεγομένου τοιοῦτος. εἰ φθαρτόν τι ὂν οὐδέποτε φθαρήσεται, συνεχὲς ἀεὶ ἔσται. τοῦτ' ἔστιν
ἀΐδιον ἔσται καὶ ἄφθαρτον. εἰ δὲ ὕδωρ, ὅτι μὲν τὸ ἀεὶ εἶναι κατὰ συνέχειαν, τῷ εἶναι ἀεὶ δυνάμει ἕξει.
ὅτι δὲ τῷ φθαρτὸν εἶναι, τῷ οὐκ ἀεὶ εἶναι δυνατὸν ἔσται. τοιοῦτον γὰρ τὸ φθαρτόν. ἅμα ἄρα τὸ αὐτὸ
ὅτε τε εἶναι δυνατὸν ἔσται καὶ ἀεὶ μὴ εἶναι. ὅπερ ἐστὶν ἀδύνατον. κατὰ οὕτως ἔχει φησὶν ἡ λέξις, κατα-
λείποιτ' ἂν ἡμῖν προσθεῖναι τὸ, καὶ ἄφθαρτον εἶναι. ὡς εἶναι οὕτω τὸ προστεθέν. ἀεὶ γὰρ ἔσται ἅμα
καὶ ἄφθαρτον καὶ φθαρτὸν συνεχές. καὶ δύρον ἐγὼ γράφω τῆς λέξεως οὕτως ἔχουσαν. διεγθεύ-
τος δὲ ὅτι ἀδύνατον τὸ φύσει φθαρτὸν ἄφθαρτον εἶναι, ἐπήγαγε φθείρεται ἄρα ποτὲ τὸ φθαρτόν.
ὥστε φησὶν ὁ ἀλέξανδρος, καὶ ὁ κόσμος κατ' οὐδὲν τῇ ἑαυτοῦ φύσει φθαρτὸς ὕδατι γλυκὺς ὑπάρχων,
οὐκ ἀΐδιος ἔσται. ἀλλὰ φθαρτὸς ἔσται. ὅτι δὲ πρὸς τὸ φαινόμενον τῷ τοῦ πλάτωνος λόγῳ καὶ οὐ πρὸς
τὸν νοῦν ἅπαντα ὁ ἀριστοτέλης, φανερὸν ὡς πρότερον ἔφην. εἴπερ γλυκὺ μὲν οὐκ ἔκ τινος χρόνου φησὶ
τὸν κόσμον ὁ πλάτων, ὁ καὶ τὸν χρόνον μετ' οὐρανοῦ γεγονέναι λέγων. τὸ δ' ἔκ τινος χρόνου γλυκὺ,
ἔχει χρόνου προϋπάρχοντα πρὸ τῆς ἑαυτοῦ γλυκάσεως. ἀλλ' οὕτω γλυκὺ εἶναι τὸν κόσμον φησὶν,
ὡς ἀίδιον καὶ συνεχὲς ὂν σώματος. καὶ τοῦ μὲν ὄντος ὄντος ὑφειμένου, τῷ γίνεσθαι δὲ τὸ εἶναι ἔχοντα.
διαλυόμενον δὲ καὶ οὐ πάντη ἀθάνατον ἀλλὰ γλυκὺ τῇ ἑαυτοῦ λέγει φύσει οὕτως, ὡς καὶ ἀριστο-
τέλης. τὸ πεπερασμένον σῶμα τῇ ἑαυτοῦ φύσει πεπερασμένῳ ἔχειν δυνάμιν λέγουσιν. ἄμφω δὲ καὶ
πλάτων καὶ ἀριστοτέλης διὰ τὸν ἐκ θεοῦ προσοχὴ παρακατὼν ἄφθαρτον καὶ ἀθάνατον λέγουσι
τὸν κόσμον. ὁ μὲν ὡς ἀπὸ τοῦ δημιουργοῦ λέγων. οὔτι γε μὴν λυθήσεσθέ γε οὐδὲ τεύξεσθε θανάτου μοί-
ρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δεσμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων, οἷς ὅτε ἐγίγνεσθε
συνεδεῖσθε. ὁ δὲ ἀριστοτέλης, ὅτι τὸ ἀκίνητον αἴτιον ἀΐδιον κινεῖ. καὶ διὰ τοῦτο τὸ ὑπ' αὐτοῦ προσε-
χῶς κινούμενον, εἰ καὶ τῇ ἑαυτοῦ φύσει ὡς πεπερασμένον ὑπάρχον πεπερασμένην ἔχει δυνάμιν,
ἀΐδιον γε μὴν κινεῖται διὰ τὸ ὑπὸ τοῦ ἀΐδιον κινοῦντος κινούμενον. συμπεραίνων δὲ ὅτι τὸ φθαρτὸν
φθείρεσθαί ποτε ἀνάγκη ἔστιν, ἐπήγαγε, καὶ εἰ γλυκὺ, γέγονεν, οὐχ ὡς λέγοντός τινος. γλυκὺ μὲν
τὸν κόσμον οὕμὴν ἐσόμενον. εἰ μὴ ἴσως φησὶν ὁ ἀλέξανδρος, οἱ φθαρτὸν οὐκ ἂν τῷ γίνεσθαι τῆς φθορᾶς
λέγοντες, οὗτοι γλυκὺ οὐμὴν ἐσόμενον φασὶν. εἰς ὃ γὰρ μεταβάλοι ἂν φθαρτὸς ὤν, γλυκὺ μοί ἔστιν,
οὐδέποτε δὲ ἐσόμενον. εἴπερ οὐ φθείρεται τὸ εἰς αὐτὸ μεταβάλλειν ὀφεῖλον. ἀλλὰ λειχθέντος ὅτι οὐ
δυνατὸν τὸ φθαρτὸν μὴ φθείρεσθαι, ὥσπερ ἑπόμενον πρὸς ὕδωρ ἐπάγει, ὅτι καὶ γλυκὺ γλυκέσθαι
δεῖ. ὁμοίως οὔσης τῆς ἀκολουθίας. δύναται δὲ προσενεχθῆναι, πρὸς τὸ πεῖσαι ὅτι τὸ φθαρτὸν φθεί-
ρεται ὕδατον. ὥσπερ γὰρ ὁ γλυκὺν τι λέγων, γλυκασόμενόν ποτε αὐτὸ φησιν, οὕτω καὶ ὁ φθαρτόν τι
λέγων, φθαρησόμενον αὐτὸ ὁμολογήσει. καὶ κατὰ ταύτην φησὶν ὁ ἀλέξανδρος πῶς σύνοιαν ἐπήγα-
γε τὸ δηλονότι. καὶ μὴ ἀεὶ εἶναι. τῷ γὰρ φθαρτῷ ὕδατι ἁρμόττει. τὸ δηλονότι μὴ εἶναι ἀεί. δύναται
Ω ς μνημονεύσας τῆ στοιχείων ἀδρὸς καὶ πυρὸς καὶ τῆ συστοίχων αὐτοῖς, ἅπερ καὶ ἐμπεδοκλῆς ἔλεγε στοιχεῖα, προσηκόντως μνημονεύει τῆς τῶ ἀναξαγόρου δόξης, ὡς ἐναντίαν τῆ δόξη τῶ ἐμπεδοκλέους, οὐ κατὰ πλῆ τῶ στοιχείου ἔννοιαν, πάντες γὰρ στοιχεῖον ἔλεγον, εἰς ὃ ἐνυπάρχον διαιρεῖται τὰ σώματα, αὐτὸ δ' ἐστὶν ἀδιαίρετον εἰς ἕτερα τῷ εἶδει. ἀλλ' ἡ διαφωνία ἦν, κατὰ ὃ πλῆ τοιαύτην φύσιν, οἱ μὲν ἄλλοις, ἄλλοι δὲ ἄλλοις σώμασιν ἐνυπάρχειν ἔλεγον. ὁ μὲν ἐμπεδοκλῆς τοῖς τέσσαρσιν. ἐκεῖνα λέγων στοιχεῖα. ὁ δὲ ἀναξαγόρας ταῖς ὁμοιομερείαις, θαλῆς δὲ τῷ ὕδατι, ἄλλοι δὲ ἄλλω. τῷ γὰρ αὐτῷ ὠδιχειρήματι χρώμενος ἕκαστος, τὰ καθ' αὑτὸν ἔλεγεν στοιχεῖα, τῷ ταῦτα μὴ ὑπ' ἄλλων διακρίνεσθαι, τὰ δ' ἄλλα ὑπ' αὐτῶν μηκέτι. ὅθεν γὰρ καὶ ἐμπεδοκλῆς τέσσαρα ἔφη τὰ στοιχεῖα εἶναι, καὶ ὁ ἀναξαγόρας τὰ ὁμοιομερῆ, οἷον σάρκα, καὶ ἰσῶν καὶ τὰ τοιαῦτα, ὡσέρματα ἐκάλει, ὑπ' ὧν, καὶ τὰ ἐκτὸς ἐμπεδοκλέους στοιχεῖα μικτὰ εἶναι ἔλεγεν, ἀδρὰ καὶ πῦρ, καὶ τἆλλα πάντα, καὶ εἶναι ἀθροίσματα τῆ ὁμοιομερῶν ἅπαντα. οὐ φαίνεσθαι δὲ ὑπ' αὐτῶν εἶναι ὅθεν ὁρατὰ καὶ αἰσθητὰ ὅθεν σμικρότητα εἶναι τὰ ὁμοιομερῆ. ὁ δὲ ἀναξαγόρας πολλάκις ὀνόματι τῶ ἀδρὸς αὐτὶ τῶ πυρὸς ἐχρήσατο. ἐπὶ τῶν δὲ πλῆ ἐκ τοῦδε δόξαν τῶδε στοιχείων, καὶ ἅμα πλῆ ἐναντίωσιν αὐτῶν παραδοὺς, ὅτι ὁ μὲν ἐμπεδοκλῆς τὰ ὁμοιομερῆ πάντα ἐκ τῆ τεσσάρων συντίθεσθαί φησι, καὶ εἶναι ταῦτα πάντων στοιχεῖα, ὁ δὲ ἀναξαγόρας καὶ ταῦτα καὶ τἆλλα πάντα ἀφ' ἑνὸς τῆ ὁμοιομερῶν συνίστησι, καὶ ἀφ' τούτων ὡς ὁμοιομερῶν ἔτι καὶ αὐτῶν ὄντων, πλῆ μὲν τῶδε στοιχείου δόξαν ἀφ' τῆς κοινῆς ἐπιβολῆς ἔλαβεν ὡμολογημένην. τίνα δ' ὄντα τὰ τοιαῦτα σώματα οὐκέτι ἀφ' τούτων ἔλαβεν. διαφωνεῖ γὰρ τῶδε τούτου. ἀλλ' αὖ ἐξῆς διειλεγμένου τινὰ ὄντα τὰ ἀπλᾶ τῶ σωμάτων, ἔξεστι διειλεγμένον τίνα ὄντα τὰ στοιχεῖα.

Ε ΠΕΙ ΔΕ παντὸς τῶ φυσικοῦ σώματος ὄντος κίνησις οἰκεία, τῆ δὲ κινήσεων, αἱ μὲν ἁπλαῖ, αἱ δὲ μικταί. καὶ αἱ μὲν μικταὶ τῆ μικτῶν, αἱ δὲ ἁπλαῖ, τῆ ἁπλῶν εἰσι, φανερὸν ὅτι ἔστι καὶ ἁπλᾶ σώματα ἁπλᾶ. εἰσὶ γὰρ καὶ κινήσεις ἁπλαῖ. ὥστε δῆλον καὶ ὅτι ὄντι στοιχεῖα. καὶ διὰ τί ὄντι. πότερον δὲ πεπερασμένα, ἢ ἄπειρα. καὶ εἰ πεπερασμένα, πόσα ἐστὶν ἀριθμὸν, ἐπόμενον ἂν εἰη σκοπεῖν. πρῶτον μὲν οὖν ὅτι οὐκ ἔστιν ἄπειρα, καθάπερ οἴονταί τινες θεωρητέον.

Γ ρὸς ὃ δεῖξαι ὅτι ἔστιν ἁπλᾶ σώματα καὶ ταῦτα τέσσαρα, χρῆται τοῖς ἤδη διειλεγμένοις ὑπ' αὐτῶ. ὅτι φυσικὰ σώματά ὄντι, τὰ ἀρχὴν κινήσεως ἐν αὐτοῖς ἔχοντα καθ' αὑτὰ, ὅπερ ἦ ἐν τῇ φυσικῇ ἀκροάσει δέδεικται, ἦ ὅτι τῶ κινήσεων αἱ μὲν εἰσιν ἁπλαῖ, αἱ δὲ μικταί. ἦ ὅτι ἡ μὲν ἁπλῆ τῶ ἁπλοῦ σώματος. ἡ δὲ μικτὴ τῶ μικτῶ, καὶ τῶ ἁπλοῦ σώματος ἁπλῆ ἡ κίνησις. αἱ γὰρ τῆ συνθέτων ἁπλαῖ κινήσεις κατὰ πλῆ ἐπικράτειαν τῆ ἐν αὐτοῖς ἁπλῶν γίνονται. ταῦτα δ' ἐν ᾧ πρώτῳ τῆς πραγματείας ἔχει διειλεγμένα. τούτων δ' ὄντων, ἐπεισὴ ἁπλαῖ κινήσεις εἰσὶν, αἱ κατὰ τὰς ἁπλᾶς γινόμεναι γραμμὰς, δῆλον ὅτι ἥ τε κατ' βύθειαν καὶ ἡ κύκλω, φανερὸν ὅτι ἔστι καὶ σώματά τινα ἁπλᾶ. εἴπερ ἁπλαῖ κινήσεις αἱ τῆ ἁπλῶν σωμάτων. εἰσὶ κατὰ φύσιν. ἁπλᾶ δὲ σώματα τὰ στοιχειά ὄντι, ὅτι καὶ εἰς αὐτὰ διαιρεῖται τὰ συνθέτα. ταῦτα δ' ἀδιαίρετα ὄντι εἰς ἕτερα τῷ εἴδει. ὃ δὲ διατὶ γίνεται, δηλώσεται μὲν ὕστερα τὰ ἁπλᾶ εἰρῆσθαι. ὅτι γὰρ ὄντι στοιχεῖα, ὅτι ἔστι τὰ ἁπλᾶ κίνησιν κατὰ φύσιν κινούμενα. δηλώσεται δὲ καὶ πῶς πλῆ γίνεσθαι ἀναφορὰν ἔσεσθαι. ἐπεισὴ γὰρ δέδεικται γένεσις οὖσα, ὅτι τῶτό ὄντι τινὰ στοιχεῖα. μὴ γὰρ ὄντων στοιχείων. γένεσιν ἀδύνατον εἶναι δειχθέντος δὲ ὅτι ἔστιν ἁπλᾶ τινα σώματα ἃ τινα καὶ στοιχεῖα ὄντι, μετὰ ταῦτα ζητεῖ πότερον πεπερασμένα ταῦτα ἢ ἄπειρα. καὶ εἰ πεπερασμένα, πόσα. ἵνα μὴ δυνατὸν μὲν ὂν ἀφ' τῆς κινήσεων μὴ τῶτο λαβεῖν, ὅτι πεπερασμένα, μὴ πόσα. οὗτος δὲ πρῶτον μὲν πρὸς τοὺς λέγοντας ἄπειρα δείκνυσιν ὅτι πεπερασμένα. ἔπειτα πρὸς τοὺς τὶ στοιχεῖον τιθεμένους ἅπαντας. ἀξιοπιστότερα γὰρ ἔσται δεδειγμένα, οὐκ εὐχλούσης οὐδεμιᾶς δόξης ὡς εὐδόξου.

Κ ΑΙ ΠΡΩΤΟΝ τοὺς πάντα τὰ ὁμοιομερῆ στοιχεῖα ποιοῦντας, καθάπερ ἀναξαγόρας, οὐθεὶς γὰρ τῆ οὕτως ἀξιούντων, ὀρθῶς λαμβάνει τὸ στοιχεῖον. ὁρῶμεν γὰρ πολλὰ καὶ τῆ μικτῶν σωμάτων εἰς ὁμοιομερῆ διαιρούμενα. λέγω δ' οἷον σάρκα καὶ ὁσονοῦν. καὶ ξύλα, καὶ λίθον. ὥστε εἰ μὲν τὸ σωθὲν οὐκ ἔστι στοιχεῖον, οὐκ ἄπαν ἔσται τὸ ὁμοιομερὲς, στοιχεῖον. ἀλλὰ τὸ ἀδιαίρετον εἰς ἕτερα τῷ εἴδει καθάπερ εἴρηται πρότερον.

Τ ῶν λεγόντων ἄπειρα τὰ στοιχεῖα, λεύκιππος μὲν μὴ δηλοῖ κειτος ἀτόμους ἀπείρους ὑπετίθετο. ἀναξαγόρας δὲ καὶ αὐτὸς ὁμοιομερείας. καὶ πρὸς ταύτην πρῶτον ἅπαντα πλῆ δόξαν. καὶ εἴρηκε μὲν ἤδη πρὸς ταύτην ἐν τῷ πρώτῳ τῆς φυσικῆς ἀκροάσεως, λέγει δὲ καὶ νῦν. καὶ δείκνυσιν ὅτι οὐκ ὀρθῶς ὑπετίθετο, πάντα τὰ ὁμοιομερῆ στοιχεῖα τιθέμενοι. πολλὰ γὰρ τῆ συν-

θέτων

δήτων σωμάτων, ἃ τινα οὐκ ἂν εἴη στοιχεῖα, ἔστιν ὁμοιομερῆ. ὁμοιομερῆ γὰρ ὄντι, τὰ εἰς ὅμοια τῷ ὅλῳ μέρη διαιρούμενα, τοιαῦτα δέ, σὰρξ, καὶ ὀστοῦν, καὶ ξύλον, καὶ λίθος, ἃ τινα ὅτι οὐκ ἔστιν ἄτομα, δῆλον, χωρίζεται γὰρ ἀπ' αὐτῶν ὥς που ἔφη τὰ ἄτομα σώματα, πῦρ, καὶ γῆ, καὶ τὰ μεταξύ. καὶ πῶς γένεσιν ἐκ τοιούτων ἔχει. ἐκ τῆς τροφῆς γὰρ γίνεται ποικίλης οὔσης, καὶ ὁ ξύλον δὲ τῆς γῆς ἔχει τι, καὶ τῷ ὕδατος, καὶ ὁ λίθος. χωρὶς γὰρ ὕδατος συνεχῆ γενέσθαι πῶς γῆν ἀδιώατον. ἢ αὖ πῦρ δὲ ὁ ἀναξαγόρας φησὶ μὴ εἶναι στοιχεῖα τὰ τέσσαρα ταυτί, καὶ πῦρ ὁμοιομερῆ ὄντα. εἰ τοίνυν μηδὲν συνέθετον στοιχεῖον, ἄτομον γὰρ τὸ στοιχεῖον, σύνθετον δέ τι σῶμα ὁμοιομερὲς, οἷον πῦρ, καὶ γῆ καὶ τὰ μεταξύ, συμπεραίνει τὸ τοιοῦτο σχῆμα, ὅτι οὐκ ἄπαν ὁμοιομερὲς ἔστι στοιχεῖον. ἀλλ' ὅπερ οὐκ ἔστι σύνθετον, οὐ δὲ διαιρεῖται εἰς ἕτερα τῷ εἴδει οὐκ ἄπαν δὲ ὁμοιομερὲς τοιοῦτον. εἰ πῦρ ἢ σὰρξ, ἢ τὸ ὀστοῦν, καὶ τὰ τοιαῦτα ὁμοιομερῆ ὄντα διαιρεῖται εἰς ἕτερα τῷ εἴδει ἐξ ὧν καὶ συνίσταται, ἢ λειχθέντος, ὅτι οἱ λέγοντες τὰ ὁμοιομερῆς στοιχεῖα οὐκ ὑγιῶς ἔλεγον, πρὸ σέθηκε καὶ πολλαχῶς δεῖ κεῖνον τὸ στοιχεῖον. ὅτι οὐ τῇ ὁμοιομερείᾳ, οὐ δὲ ἄλλῳ τινὶ τοιούτῳ. ἀλλὰ τῷ ἀδιαίρετον εἶναι εἰς ἕτερα τῷ εἴδει.

Ε΄ ΤΙ ΔΕ οὐθ' οὕτως λαμβάνοντας τὸ στοιχεῖον, ἀνάγκη ποιεῖν ἄπειρα, ἅπαντα γὰρ ταῦτα ἀποδοθήσεται καὶ πεπερασμένων ὄντων ἑκάστης λάβῃ. τὸ αὐτὸ γὰρ φαίνεται καὶ δυὸ ἢ τρία μόνον ἃ τοιαῦτα καθάπερ ἐμπεδοκλῆς. ἐπεὶ γὰρ καὶ ὡς αὐτοῖς συμβαίνει μὴ πάντα ποιεῖν ἐξ ὁμοιομερῶν. πρόσωπον γὰρ οὐκ ἐκ προσώπων ποιοῦσιν. οὐδ' ἄλλο τῶν κατὰ φύσιν ἐσχηματισμένων οὐδέν, φανερὸν ὅτι μακρῷ βέλτιον πεπερασμένας ποιεῖν τὰς ἀρχάς. καὶ ταύτας ὡς ἐλαχίστας πάντων γε τῶν αὐτῶν μελλόντων λείπεσθαι, καθάπερ ἀξιοῦσι καὶ οἱ ἐν τοῖς μαθήμασιν, ἀεὶ γὰρ πεπερασμένας λαμβάνουσιν ἀρχὰς, ἢ τῷ εἴδει, ἢ τῷ ποσῷ.

Α΄ πρὸ τῆς ὁμοιομερείας πρότερον διαχειρήσας, καὶ δείξας ὅτι οὐχ ἅπαντα ὁμοιομερῆ ἐστὶ τὰ στοιχεῖα, οὐ δὲ γάρ ἐστιν ἄτομα σώματα, ναὶ πρὸς πᾶν ἀπειρίαν ἅπαντα. καὶ συγχωρηθείσης καθ' ὑπόθεσιν τῆς ἀπειρίας, λέγει ὅτι εἰ καὶ ὁμοιομερῆ τις λάβοι τὰ στοιχεῖα, οὐ δι' ἣν αἰτίαν ἀνάγκη ὑπὸ ἄπειρα φθορεῖν αὐτά. καὶ γὰρ καὶ πεπερασμένων ὄντων τὰ αὐτὰ συμβαίνει ἀποδίδοσθαι. καθάπερ εἴ τις ὑφθείη ὀλίγα τῷ πλήθει, δυοῖν τριῶν ἢ τεττάρων, ὥσπερ ἐμπεδοκλῆς, οὗτος γὰρ τέτταρα τὰ στοιχεῖα ὑποτιθέμενος, ἢ ἕνα τῶν αὐτῶν ὁμοιομερῆ λέγων, ἐκ τούτων πάσχειν πῶς γένεσιν αἰτιᾶται. πλείω ὅτι ὁ μὲν ἐμπεδοκλῆς ἀπλᾶ ταῦτα ὑποτίθησιν. ὁ δὲ ἀναξαγόρας σύνθετα ταῦτα ἐκ τῶν ὁμοιομερειῶν. ὥσπερ καὶ τἄλλα πάντα τὰ ἀθρόα σύνθετα ἐκ τῶν ὁμοιομερῶν φησι, κατ' ὠδινὴ κράτειαν οἷος τῶν ἐν αὐτοῖς χαρακτηριζόμενα. ἔστι τε καὶ τρίτον ἐπ' ἀμφοῖν ὠδίχειρημα ἐπάγει ἀφ' τῆς ὁμοιομερείας καὶ τῆς ἀπειρίας. ἐπεὶ γὰρ φησι καὶ εἰ ἄπειρα τῷ πλήθει ὑποτεθείη τὰ στοιχεῖα, συμβαίνει οὐχ ἅπαντα τὰ σύνθετα ἐκ τῶν ὁμοιομερῶν ποιεῖν, σάρκα μὲν γὰρ ἀναθρῶ, καὶ χρυσὸν, καὶ τὰ τοιαῦτα, ἐκ τῶν ὁμοιομερῶν ποιεῖν αὐτὸν, ὅπως ἂν προχωρῇ, ὠδὶ κρατοῦντος τοῦ πλήθους τῷ μίγματι τῶν ἀναθρῶν ὀλιγομερότητα, τῆς σαρκίου καὶ τοῦ χρυσοῦ. τὸ δὲ πρόσωπον μὴ τἄλλα τὰ ὀργανικὰ καλούμενα μέρη, οὐκέτι δυνατὸν ἐκ πολλῶν ἀναθρῶν ὧν μεγέθει προσώπων συνιθέναι. μὴ ὁ μὲν ἀλέξανδρος φησὶ μὴ εἶναι ἐκ τῶν ὁμοιομερῶν. ὀλίγα δὲ τὸν ὀφθαλμὸν μὴ πῦρ ἢ ἄνα μὴ εἶναι ὅμοια, ἴσως δὲ ἀκολουθέστερον ἔφη ὁ ἀριστοτέλης, πρόσωπον γὰρ οὐκ ἐκ προσώπων. ὅτι τὰ ὁμοιομερῆ μὴ εἰ ἀλλήλοις ὅμοια ἔχει μέρη, οὐ δι' ὃ λέγεται ὁμοιομερῆ, ἀλλ' ὅτι τῷ ὅλῳ ὅμοια ἔχει μέρη. πάνυ δὲ ἀκριβῶς προσέθηκεν ὁ, οὐδ' ἄλλο κατὰ φύσιν τῶν ἐσχηματισμένων οὐδέν, ἐπεὶ οὐ μόνα τὰ ὑπ' ἀνομοίων ἀλλήλοις συνιθέμενα, οὐκ ἔχει μέρη ὅμοια τῷ ὅλῳ. ὡς εἴρηται ὠδὶ τῷ προσώπου. ἀλλὰ καὶ ἐφ' ὧν τὰ μέρη ὅμοια ἀλλήλοις ἐστὶ καὶ τῷ ὅλῳ, τῷ ὅλου κατὰ φυσικὴν σχῆμα εἰδοποιηθέντος. οἷον ὁ ὀστοῦν τῷ κρανίου, ἢ τῷ βραχίονος, ἢ τῷ σκέλους. ἢ ὕδωρ, ἢ φλέψ. ἢ ἀρτηρία, οὐ δὲ ταῦτα ἐκ τῶν ὁμοίων τῷ ὅλῳ μερῶν ἐστιν. εἰ γὰρ καὶ τὸ ὀστοῦν ὁ μέρος ὀστοῦ, ἢ τὸ ὕδωρ ὕδωρ. ἀλλ' οὐκ ἐσχημάτισται ὁ μέρος τῷ ὅλῳ, ὁ δὲ ὅλον μετὰ σώματος ἰῶ. τοῦθ' ὅπερ εἶναι λέγει. εἰ δὲ ἀνάγκη κατ' αὐτὸν καὶ οὐκ ἐξ ὁμοιομερῶν τινὰ γίνεσθαι, καὶ οὐδὲν ἡ ἀπειρία ποιεῖ, πρὸς ὁ πάντα ἐξ ὁμοιομερῶν εἶναι, οὐδὲν κωλύει καὶ πεπερασμένα τὰ ὁμοιομερῆ ποιεῖν, εἴπερ ἐστὶ στοιχεῖα. καὶ πεπερασμένου γὰρ ὄντων, τὰ μὲν ἐξ ὁμοίου ἰῶ. τὰ δὲ ἐξ ἀνομοίων, ὥσπερ καὶ ἀπείρων ὑποτεθέντων. εἰ γὰρ τὰ αὐτὰ σώζειν δυνατὸν πολλοὺς πεπερασμένους τὰς ἀρχὰς καὶ ἀπείρους, βέλτιόν φησι πεπερασμένας λαμβάνειν, ὥσπερ καὶ ὠδὶ τῶν μαθημάτων, καὶ ὡς οἷόν τε, ὀλιγίστας. εἰ γὰρ ἀγνοουμένων τῶν ἀρχῶν καὶ τὰ ἐκ τῶν ἀρχῶν ἀγνοεῖν ἀνάγκη, πεπερασμένας τὰς ἀρχὰς ὑποθετέον καὶ ταύτας ὡς ὀλιγίστας. ὅτι μὲν ἄπειρον ἄγνωστον, ὁ δὲ πεπερασμένον γνωστὸν, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ ἧττον κατὰ λῆψιν ἐστὶ, καὶ τῇ μονάδι συνάπτει. διὸ καὶ οἱ τῶν μαθηματικῶν καὶ

ἰδιότης μονικῶν γνώσιν τῆς τοῦ κεκμενίων ἔχειν βουλόμενοι, πεπράσμενα τὰς ἀρχὰς λαμβάνουσιν, ἢ τῷ εἴδει, ἢ τῷ ποσῷ. τῷ μὲν εἴδει, ὅταν πλὴ στιγμῆ, καὶ πλὴ γραμμῆ, καὶ ἐπιπέδου δεῖζονται. οὐ γὰρ ἐν τῷ ἀριθμῷ ἕκαστον αὐτῶν, ἀλλὰ τῷ εἴδει καὶ τῷ λόγῳ. τῷ δὲ ποσῷ. ὁ μὲν ποταμῶν, τὰς μαθηματικὰς ἀρχὰς ὡρίσθαι φησὶ, πλὴ μονάδα ἀρχὴν τοῦ ἀριθμοῦ λαμβάνων. ὁ δὲ ἀπαθὴς τῷ ποσῷ ὡρίζας τὰ πέντε αὐτήματά φησι. ταῦτα γὰρ οὐ κατ' εἶδος ἀλλὰ κατ' ἀριθμὸν πέντε ὄντα δύναται δὲ φησιν ὁ ἀλεξανδρος ἀρχὰς λέγειν τῷ ποσῷ πεπράσμενα μὴ αὐτὰς ταῦτας. ὧν ἕκαστην κατ' εἶδος ὡρισμένην λαμβάνων. ὧν ἓν τῶν ὁρισμοὺς ὡς στοιχείων ἀποδιδόασιν, ὥρισται ταῦτα κατ' ἀριθμόν. ἢ ᾧ μὲν εἴδει φησὶν ὡρισμένα τὰ στοιχεῖα κατ' αὐτούς ὄντα. ὅτι σημεῖον, καὶ γραμμὴ μὲν εὐθεῖα, ἡ δὲ τοιαδιφορὰς, καὶ ὅλα πρῶτα λαμβάνοντες ὁρίζονται. ἃ τινα μὴ ὁρισμοὺς καλοῦσιν. οὐ γὰρ ἄπειρα τὰ εἴδη αὐτῶν. ἀλλ' ἔστιν αὐτῆς ἀριθμὸς, τῷ δὲ ποσῷ, ὅτι οὐδενὶ ἀπείρῳ χρῶνται, οὔτε εὐθεῖ οὔτε ἐπὶ πέδῳ, ἀποδεικνύοντες τι. εἰ γὰρ καὶ κύκλου τι θέασιν, ἀλλ' οὖν ἀεὶ ὡρισμένον λαμβάνοντες χρῶνται. ἴσως δὲ εἴδει μὲν πεπράσμενα, ὅτι οὐδὲν ἄπειρον ὑφ' τι θέασιν. ἀλλὰ τείρωνα, καὶ τριάκοντα, καὶ κύκλους, καὶ σφαίρας, καὶ γραμμὰς, καὶ ἐπίπεδα. τῷ δὲ ποσῷ, ὅτι εἰθισμένα ταῦτα λαμβάνομεν ἀρχαὶ, δηλονότι ὁρισμοὶ πόσοι, καὶ ἀξιώματα. καὶ αἰτήματα. οἷς τισιν ἀρκοῦνται πρὸς τὰς ἀποδείξεις τῆς ἐπομένων.

Ε΄ ΤΙ ΕΙ σῶμα σώματος ἕτερον λέγεται κατὰ τὰς οἰκείας διαφορὰς, αἱ δὲ τῶν σωμάτων διαφοραὶ πεπράσμενα, διαφέρουσι γὰρ τοῖς ἀϊδίοις, ταῦτα δὲ πεπράνται, δεῖ δὲ δεῖξαι, φανερὸν ὅτι ἀνάγκη μὴ τὰ στοιχεῖα πεπράσμενα εἶναι.

Κ αἱ δεῖξαι δὲ ἀδιχείρημα δείκνυσιν, ὅτι τὰ στοιχεῖα τῷ εἴδει πεπράξαι. ἢ δὲ ἐπαγωγὴ τοῦ λόγου ὑφ' θετικῶς μὲν οὕτω προάγεται. εἰ πάντα τὰ σώματα κατ' εἴδος ὡρισμένας κατ' εἴδος διαφορεῖν διαφέρει. τὰ δὲ πεπράσμενας κατ' εἴδος διαφορᾶς διαφέροντα, πεπράξαι κατ' εἴδος ἀνάγκη τὰ σώματα πεπράνθαι ᾧ εἴδει. εἰ τοίνυν τὰ στοιχεῖα σώματά ἐστιν ἀπλᾶ, ἔτι μᾶλλον ἀνάγκη ταῦτα ἢ τὰ ἀπ' αὐτῆς πεπράνθαι τῷ εἴδει. καὶ ὅτι μὲν τὰ σώματα ταῖς οἰκείαις διαφοραῖς διαφέρει, φανερόν. τὰ γὰρ διαφέροντα πάντα ταῖς ἑαυτῶν διαφοραῖς διαφέρει. ὅτι δὲ αἱ διαφοραὶ, αἷς διαφέρει τὰ σώματα πεπράσμενα εἰσὶ τῷ εἴδει, δῆλον ἐκ τοῦ αἰθητὰς εἶναι ταύτας. ἡ ὅτι μὲν αἰθηταῖς διαφοραῖς διαφέρει τὰ σώματα, δείκνυσιν ἐν τῷ ὀγδόῳ τῆς φυσικῆς ἀκροάσεως. ὅτι δὲ τὰς αἰθητὰς πεπράνθαι ᾧ εἴδει δεῖ, δείκνυσιν ἐν ᾧ πρὸς αἰθήσεως ἡ αἰθητῶν οὕτως. ἅπαν αἰθητὸν ἔχει ἐναντίωσιν. τὸ ἔχον ἐναντίωσιν ἔχει ἕξεις κατ' εἴδος, τὸ ἔχον ἕξεις κατ' εἴδος πεπράξαι κατ' εἴδος, τὰ αἰθητῶν ἄρα τὰ εἴδη πεπράξαι. κατηγορηματικῶς δὲ ὅτως ὅτι συμπράνεται τὸ πρὸς στοιχείων ἰδιοχείρημα. τὰ στοιχεῖα σώματα. τὰ σώματα ἀλλήλων ἰδίαις διαφοραῖς αἰθηταῖς ὑπαρχούσαις διαφέρει. τὰ ταῖς αἰθηταῖς διαφοραῖς διαφέροντα. πεπράσμενας τῷ εἴδει διαφοραῖς διαφέρει. τὰ πεπράσμενας τῷ εἴδει διαφοραῖς διαφέροντα, πεπράξαι κατ' εἴδος. ταῦτα μὲν οὖν ἐν τούτοις πρὸς τὸν τοῦ ἀναξαγόρου λόγον ἐπάγει. ἐν δὲ τῷ πρώτῳ τῆς φυσικῆς ἀκροάσεως καὶ πρὸς τὸ πάντα ἐν πᾶσι μεμίχθαι πλὴ ἀπάντησιν ἐποιήσατο. ἔλεγε γὰρ ἕκαστον τῶν αἰθητῶν σωμάτων ἔχειν ἐν ἑαυτῷ ἄπειρα ὁμοιομερῆ, ὃ δὴ δοκεῖ γὰρ δοκεῖν πάντα ἐκ πάντων γίνεσθαι, δείκνυσιν οὕτω ἐπόμενον τούτῳ τὸ ἕκαστον τῶν αἰθητῶν σωμάτων ἄπειρον μεγέθους γίνεσθαι. ἐκ γὰρ τῶν ἀπείρων τῷ πλήθει μεγεθῶν κατ' ἀφαίρεσιν, σωτὸ θέμενον μέγεθος, ἀνάγκη ἄπειρον γίνεσθαι τῷ μεγέθει. εἰ τοίνυν δεῖ ἀδιάτον, οὐκ ἂν εἴη ἄπειρα τὰ στοιχεῖα. καὶ δηλονότι δεῖ τὸ ἰδιοχείρημα πῶς κατ' ἀριθμὸν ἀπειρίαν ἀναιρεῖ. ἥτις τῇ κατ' εἶδος ἀπειρίᾳ οὐ συναίρηται. λέγει δὲ ὁ ἀναξαγόρας ἀρχόμενος τοῦ βυβλίου. ὁμοῦ πάντα χρήματα ἄπειρα καὶ τὸ πλήθει καὶ τὴν σμικρότητα. τὸ γὰρ μικρὸν ἄπειρον ἐστιν. μὴ πάντων τῶν ὄντων ἐν οὐδὲν δῆλον ἐστὶ τῆς σμικρότητος. μὴ ὅτι ἐν παντὶ δεῖ νομίζειν ὑπάρχειν πάντα χρήματα. ἴσως δὲ τὸ ἄπειρον ὡς ἡμῖν ἄλλη πῆ μὴ ἄγνωστόν φησιν. δεῖ γὰρ ἐμφαίνει δηλ. τοῦτο, ὥστε τῶν διαιρεμενομένων μὴ ἐπίσασθαι τὸ πλῆθος μήτε λόγῳ μήτε ἔργῳ. ἐπεὶ ὅτι τῷ εἴδει πεπράσμενα ἐνόμισεν, ἐμφαίνει λέγων, πάντα γνώσκειν ἐν νοῦν. καί τοι εἰ ἄπειρα πῶν τι ἐστὶ, πάντα ἄγνωστα ἂν ἐστί. ἡ γὰρ γνῶσις δείζεται καὶ πρακτὸν τὸ γνωστόν. λέγει δὲ ὅτι μεμιγμένα καὶ διακεκριμένα πάντα ἐγνώνους, καὶ ὁποῖα δεῖ γίνεσθαι, μὴ ὁποῖα ἐστί. ἔοικε δὲ ὁ ἀναξαγόρας διαπλῆν ἐμφαίνειν πῶς διάθεσιν. πῶς μὲν νοητὴν μὴ ἡνωμένην ἐν ᾗ ὁμοῦ πάντα χρήματα ἐστί, μὴ ἕκαστον πάντα ἐστὶ τἆλλα δηλ. πῶς νοητὴν ἐν ὄντων. πῶς δὲ αἰθητὴν μὴ διακεκριμένων τῆς ἐνώσεως ἐκείνης κατὰ τὸ δημιουργικὸν νοῦν. οἳ δὲ μὴ αὐτὸ ἀπὸ τοῦ νοητοῦ προϊόντα πάντα διατεθεικέναι φησὶν. ὅτι γὰρ νοητὴν ἐμφαίνει τινὰ διάθεσιν πῶς ταύτης τ' αἰθητῆς. κατ' αἰτίαν μὴ ὡρισμένως ταύτην προλαμβάνουσιν, ἐκείνα τὰ ῥήματα διαῤῥήδην ὡς οἶμαι πιστούμενον. τούτων δὲ οὕτως ἐχόντων, δεῖ νομίζειν ὑπάρχειν πολλὰ μὴ παντοῖα ἐν παντοῖς μίγμασι, μὴ ὡρισμένα πάντων χρημάτων μὴ ἰδέαν παντοίαν ἔχοντα, μὴ ἡδονὰς, καὶ χρώματα, μὴ ἀνθρώπους ὁμοῦ

συμπεπῆχθαι, καὶ τἄλλα ζῶα, ὅσα ψυχὴν ἔχει. μὴ τοῖς ἀνθρώποις εἶναι πόλεις οἰκουμένας, καὶ
δῶμα ἠρτησθαι συνδιαξόμενα, ὥσπερ παρ' ἡμῖν, καὶ ὑλίκιον, μὴ σελιδώλω, μὴ τἄλλα ὥσπερ παρ' ἡμῖν. μὴ
ταῦτα δηλονότι σωματικῶς ἐκεῖ ἠρτῆσθαι ὡς ἔφθω προληφθέντα.

Α ΑΛΛΑ μὴν οὐδ' ὡς ἕτεροί τινές λέγουσιν, οἷον λύκιον τός τε καὶ δημόκριτος ἀδυνάτους, σύλλογα
τὰ συμβαίνοντα. φασὶ γὰρ εἶναι τὰ πρῶτα μεγέθη πλήθει μὲν ἄπειρα, μεγέθει δὲ ἀδιαίρετα. καὶ
οὔτε ἐξ ἑνὸς πολλὰ γίγνεσθαι, οὔτε ἐκ πολλῶν ἕν. ἀλλὰ τῇ τούτων συμπλοκῇ καὶ θέσει πλέξει πάν-
τα γεννᾶσθαι. πόθεν γὰρ τινα καὶ οὗτοι πάντα τὰ ὄντα ποιοῦσιν ἀριθμοὺς καὶ ἐξ ἀριθμῶν. μὴ γὰρ
εἰ μὴ ζαφῶς δηλοῦσιν, ὅμως ἔστω βούλονται λέγειν.

Γ ρὸς δὴ λέγοντας ἄπειρα τῷ πλήθει τὰ στοιχεῖα προσθέμενος ἀπαντήσω, καὶ αὖ τε πῶν τοῖς θέσει
ἀναξαγόραν, ἀπείρους ὁμοιομερείας τὰ στοιχεῖα λέγουσι, μεταβαίνει πρὸς δὴ θέσει λύκιον μὴ
δημόκριτον, στοιχεῖα λέγοντας τοὺς ἀτόμους, διὰ σμικρότητα καὶ στερεότητα, ἀπείρους ὑπαρχού
σας κατά τε ἀριθμὸν καὶ σχήματα. τούτους δὲ μόνα ἔλεγον συνεχεῖς. τὰ γὰρ ἄλλα ὅσα φαίνεται
συνεχῆ, διὰ πλησιάζειν ἀλλήλοις. δι' ὃ καὶ πλὴ τμῆσιν ἀφιρεῖτο, διάλυσιν τὴν ἀπομείων λέγον
τας πλὴ φαινομένην τμῆσιν. καὶ διὰ ταῦτα οὔτε ἐξ ἑνὸς πολλὰ γίνεσθαι ἔλεγον, οὐ γὰρ διαιρεῖσθαι
πλὴ ἄτομον, οὔτε ἐκ πολλῶν ἕν κατ' ἀλήθειαν συνεχές. ἀλλὰ τῇ κράσει τὴν ἀτόμων ἔναισιν εἶ δυ-
νεῖν γίνεσθαι, πλὴ δὲ συμπλοκὴν οἱ ἀβδηρεῖται ἔλεγον ἐπάλλαξιν, ὥσπερ ὁ δημόκριτος. εἰπὼν δ'
ὅτι οὐδ' ὡς ἀλλοιοῦσθαί τινές φασι σύλλογα τὰ συμβαίνοντα, ἐξηγούμενος πλὴ δόξαν αὐτῆν, εἶ αἴ-
τιον ἐπενθίθησιν, τὸ μὴ εἶναι τὰ συμβαίνοντα σύλλογα. πόθεν γάρ τινα φησὶ καὶ οὗτοι πάντα τὰ ὄν
τα ποιοῦσιν ἀριθμούς. καὶ ἐξ ἀριθμῶν. εἰ τοίνυν ἔστω ἀδύνατον, οὐκ ἂν εἴη σύλλογα τὰ συμβαίνον-
τα τῷ λόγῳ αὐτῆν. πόθεν δέ τινα ἀριθμοὺς ἔφη τὰς ἀτόμους, ὅτι μονάσιν ἐξομοιοῦσθαι αἱ ἄτο-
μοι, καὶ ὅτι οὐ διαιροῦσθαι ὥσπερ οὐδ' αἱ μονάδες. καὶ ὅτι οὐδ' ἐξ ἀτόμων τῷ κενῷ διακεκριμέ-
νων γίνεταί τι συνεχές, ὥσπερ οὐδ' ἐκ μονάδων, πρὸς εἰσας γὰρ τῷ κενῷ διορίζεσθαί φασιν οἱ πυ-
θαγόρειοι, ὁ δὲ δόξαν τινὰ πρόσκειται, ὅτι διαφορά τίς ἐστι τῆν παρεπομένων ἀτόπων τοῖς ἐξ ἄτό-
μων καὶ τοῖς ἐξ ἀριθμῶν γεννῶσι. ὁ γὰρ ἐξ ἀσωμάτων μορίων τὰ σώματα γεννᾶν ἄτοπον ὑπάρ-
χον, τοῖς μὲν λέγουσιν ἐξ ἀριθμῶν ἕπεται. οἱ δ' ἐξ ἀτόμων γεννῶντες ἀποφεύγουσιν.

Κ ΑΙ ΠΡΟΣ τούτοις, ἐπεὶ διαφορεῖ τὰ σώματα σχήμασιν, ἄπειρα δὲ τὰ σχήματα, ἄπειρα καὶ
τὰ ἀπλᾶ σώματά φασιν εἶναι. ποιὸν δὲ καὶ τί, ἐνόησεν ὁ σχῆμα τῆν στοιχείων, οὐδὲν ἐδιο-
διώρισεν. ἀλλὰ μόνον τῷ πυρὶ πλὴ σφαῖραν ἀπέδωκεν. ἀόρατα δὲ καὶ ὕδωρ, καὶ τἄλλα,
μεγέθει καὶ σμικρότητι διέλυεν, ὡς οὖσαν αὐτῆν πλὴ φύσιν, οἷον παντοδαπίαν πάντων τῆν
στοιχείων.

Τ αὐτὰ δ' ἀλέξανδρος ἐνόησεν, ὡς αὐτί φασίν τινα αὐτῆν πρὸς ἑαυτὴν συνάγοντα, δηλονότι τῆν λε
γόντων ἀρχὰς τὰς ἀτόμους, ὅτι λέγουσι μὲν κατὰ σχῆμα διαφορεῖν ἀλλήλων τὰ στοιχεῖα, καὶ οὐ κα
τὰ ὁ κεῖμενον, εἰ δὲ ἔστω, δηλονότι καὶ τὰ ἐκ τῆν στοιχείων γινόμενα κατὰ σχῆμα διαφορεῖν
ἀλλήλων. ἑπόμενον οὖν λέγειν, τίνα τὰ σχήματα ἐνόησαν τῆν στοιχείων, καὶ τίνα τῆν γι
νομένων ἐξ αὐτῆν. οἱ δὲ μόνου τὸ πυρὸς καὶ τῆν ἀτόμων τῆν γεννουσῶν αὐὸ ἔλεγον σχῆμα σφαι-
ρικόν. διὸ καὶ βύλοτως αὐὸ διϊέναι καὶ κινεῖσθαι καὶ κινεῖν καὶ διαιρεῖν καὶ καίειν, οἷς αὐ πλησιά-
ζον, διά τε πλὴ ἀδιαφορείαν καὶ ὁ ἐπίπεδον. καὶ ἔτι διὰ πλὴ σμικρότητα τῆν στοιχείων, ἐξ ὧν ὄγκος.
οὐκέτι δὲ τὸ ἄδρος σχῆμά τι ἢ τὸ ὕδατος ἢ τῆς γῆς ἢ τῆν στοιχείων τούτων φασὶν μόνον γὰρ αὐτῆν
πλὴ κατὰ μέγεθος διαφορὰν, καὶ πλὴ τῆν στοιχείων ἀποδιδόασιν. ἐξ ἐλαττόνων μὲν τῆν αὐτῆν κα-
τὰ ὁ σχῆμα ὄν ἀόρατα λέγοντες. ἐκ μειζόνων δὲ ὁ ὕδωρ, καὶ ἔτι ἐκ μειζόνων πλὴ γῆν, οὐκέτι διαφε-
ρόντων κατὰ σχῆμα, ἀλλ' ἐκ παντοίων σχημάτων καὶ τῆν αὐτῆν ἐνόησαν τούτων γινομένων, ὁ δὲ
τούτω ἑπόμενόν φησιν ὁ ἀλέξανδρος. αὐὸς μὲν οὐ προσέθηκεν, εἴη δ' ἄν, ὁ δηλονότι, εἰ μὴ πλὴ κα-
τὰ σχῆμα διαφορὰν εἶναι τῆν στοιχείων κατ' εἴδος διαφερόντων τίθεντο, ἀλλὰ πλὴ κατὰ μέγεθος,
ὁ μὲν ἄδρα καὶ ὁ ὕδωρ καὶ πλὴ γῆν κατὰ ὁ τῆν στοιχείων μέγεθος μόνον διαφέροντα, οὐ κατ' εἴδος
ἀλλήλων διαφορεῖν. ὁ μὲν οὖν ἀλέξανδρος ὡς ἔλεγχον τῆν προληφθέντων καὶ ἄτοπον ἑπόμενον
ἐπήγαγεν. ἴσως δὲ καὶ ταῦτα ἔτι ὡς πλὴ δόξαν αὐτῶν διασαφοῦντα προσέθηκεν ὁ ἀριστοτέλης,
ἅμα καὶ πλὴ αἰτίαν λέγων, διὰ τὸ κατ' ἀριθμὸν τοὺς ἀπείρους ἀτόμους λέγοιεν. διὸ ὅτι φησὶ τοῖς σχήμα
σι διαφέρουσιν, ἀπείρα δὲ τὰ σχήματα, διὸ ἄπειρα τὰ ἀπλᾶ σώματα ἔλεγον. τί δὲ μὴ ποῖον ὁ σχῆ-
μα ὁ γεννητικὸν ἐνόησαν τῆν σωμάτων, οὐκέτι διωρίζοντο, εἰ μὴ τῷ γένει μόνον, ἀόρατα δὲ καὶ ὕδωρ μὴ
τἄλλα γίνεσθαι ἐκ τῆν στοιχείων ἔλεγον, σχήματα μὲν τὰ αὐτὰ ἐχόντων, μεγέθει δὲ μόνον μὴ μικρό
τητι διαφερόντων. πλὴ ἀρχὴν δὲ τῆς ἀντιλογίαν πρὸς ταύτην. πλὴ δόξαν ἐφεξῆς ποιεῖται, λέγων,
πρῶτον μὲν οὖν μὴ τούτοις ἀμαρτήμα. μὴ τοῖς προσεχῶς ἐκτεθεῖσιν τῆς δόξης μορίοις τὰ ἑπόμενα
ἄτοπα οὐ παρέλειψεν ὁ ἀριστοτέλης. ὡς δόμενον ὁ ἀλέξανδρος. ἀλλὰ τετάρτην ἀντιλογίαν ἐπή-
γαγεν, ἧς ἡ ἀρχὴ, ἅμα δὲ καὶ ἀντία λέγειν αὐτὸν ἑαυτοῖς ἀνάγκη.

ΓΡΩΤΟΝ μὲν οὖν τὸ καὶ τούτοις ἁμάρτημα, τὸ μὴ πεπρασμένα λαβεῖν τὰς ἀρχὰς ὑξὸν ἅπαντα ταῦτα λέγειν. ἔτι δ' εἰ μὴ ἄτοιροι τῇ χημάτων αἱ διαφοραὶ, δῆλον ὅτι οὐκ ἔσται τὰ στοιχεῖα ἄτοιρα. πρὸς δὲ τούτοις ἀνάγκη μάχεσθαι τοῖς μαθηματικοῖς ὠδὶ σήμαις, ἄτομα σώματα λέγουσι. καὶ πολλὰ τῇ συνδόξων, καὶ τῇ φαινομένων κατὰ τὸν αἴσθησιν ἀναιρεῖν, ὥσπερ ἐν ἐρήται πρότερον ἐν τοῖς ὡδὶ χρόνου καὶ κινήσεως. ἅμα δὲ καὶ ἐναντία λέγειν αὐτὸν αὐτοῖς ἀνάγκη. ἀδύνατον γὰρ ἄτομων ὄντων τῇ στοιχείων μεγέθει καὶ σμικρότητι διαφέρειν ἄδρα, καὶ ὕδωρ, μὴ γῆν. οὐ γάρ οἷόν τε ὑξ ἀλλήλων γίγνεσθαι. ἔστω λείψει γὰρ ἀεὶ τὰ μέγιστα σώματα ἐκκεινόμενα. φασὶ δ' οὕτω γίγνεσθαι ὕδωρ καὶ ἄδρα καὶ γῆν ὑξ ἀλλήλων.

Ε' κτεθείσης τ' δόξης τ' λεγόντων τὰς ἄτομους στοιχεῖα, δυσὶ πρὸς αὐτὸν ἀντιλογίαις χρῆται. ὥσπερ καὶ πρὸς τοὺς ὁμοιομερείας λέγοντας ἐχρήσατο. τῇ μὲν πρώτῃ λεγούσῃ ἁμαρτάνειν αὐτόν, εἰ δυνάμενοι ἐκ πεπρασμένων ἀρχῶν τὰ τοιαῦτα ἀποδιδόναι, ἀπείρους ὑπέθεντο, τῇ δὲ λοιπῇ, εἰ μὴ ἄτοιροι τῇ σωμάτων αἱ διαφοραὶ, καθ' ἃς διαφέρει ἀλλήλων, οὐ δὲ τὰ στοιχεῖα αὐτὰ εἶναι ἄπειρα τῷ εἴδει. ἀλλὰ μᾶλλον ἐκ πρώτων. ἐκ ἀρχὰ λοιπόν. καὶ ἐκ μὲν σωμημόνευσιν δῆλον, ὅτι ἐκ τῇ στοιχείων αἱ διαφοραὶ τοῖς σωματικοῖς αἱ κατὰ ἐκ εἶδος. ὅτι δὲ οὐκ εἰσὶν ἄτοιροι αἱ τῇ σωμάτων κατ' εἶδος διαφοραὶ, δῆλον, εἴπερ αἰσθηταὶ μέν εἰσιν, ὡς δέδεικται ἐν τῷ ἑβδόμῳ τῆς φυσικῆς ἀκροάσεως. αἱ δὲ αἰσθηταὶ διαφοραὶ πεπρασμέναι εἰσὶν, ὡς ἐν τῷ ὡδὶ αἰσθήσεων καὶ αἰσθητῷ δείκνυται. ὁ δὲ ἀλέξανδρος, ἐκ εἰ μὴ ἄπειροι τῇ σωμάτων αἱ διαφοραὶ, ὡς ὡδὶ στοιχείων ἐρήθαι νοεῖ. διὸ φησιν οὕτως εἰρῆσθαι, ὡς μὴ ἀρκούσης τῆς κατὰ σχῆμα διαφορᾶς διαφορὰν τῇ στοιχείων ποιεῖν, ἀλλὰ μόνων τῇ κατὰ τὰ αἰσθητὰ διαφερόντων δυναμένων ἔσχε. ἡ δὲ ἐκ μὲν δὲ τὰ σχήματα ἄπειρα. καθ' ἃς διαφορὰς φασὶ διαφέρειν τὰ στοιχεῖα, ὡς δείξει. ἴσως δὲ ὡς εἴρηται μᾶλλον νοητέον, ὅτι εἰ μὴ ἄτοιροι τῇ σωματικῶν αἱ κατ' εἶδος διαφοραὶ, οὐ δὲ τὰ στοιχεῖα ἄπειρα κατ' εἶδός ἐστιν. ὁ γὰρ λόγος οὗτος πρὸς κατ' εἶδος ἀπειρίαν, οὐ πρὸς κατ' ἀριθμὸν ἀναιρεῖ. τέτοτο δὲ αὐτοῖς ἴδιον ἤδη ἐπάγει, δῆλον ὅτι μάχεσθαι τοῖς μαθηματικοῖς ὠδὶ σήμαις δὸν τὰ ἄτομα σώματα λέγουσι. οὐδὲν γὰρ συνεχὲς κατὰ δὸν μαθηματικοὺς ἀδιαίρετον. ἀλλ' εἰς ἄπειρον ἄπαν μέγεθος διαιρετόν. εἰ τοίνυν καὶ πρὸς συνέχειαν ἀναιροῦσιν οὗτοι, καὶ πρὸς εἰς ἄπειρον τομὴν τῇ σωμάτων, καὶ ὅλως πρὸς τομὴν, καὶ πρὸς αἴσθησιν, καὶ πρὸς συναίσθησιν, πῶς γὰρ ἂν συναισθοίτό τι τὸ ἐν τῷ ποδὶ πάθους μὴ ἰδωμένων τῇ σωμάτων, πῶς ἔτι ὑξ ἀδιαιρέτων καὶ ἀμερίστων γένοιτ' ἂν τι διαιρετὸν καὶ μερισόν. ἀλλὰ ἔσχε μὲν καὶ τοῖς ὡδὶ φυσικῆς ἀκροάσεως ὑξηλεγξεν. ἅ τινα ὡδὶ χρόνου φησὶ νῦν καὶ κινήσεως, καὶ τἄλλα δὲ πάντα ἐνδοξα ὑπάρχοντα, τὰ μὲν ὡς τῆς ἀκριβεστάτης ὠδὶ σήμης, τὰ δὲ ὡς κατ' αἴσθησιν ἐναργῆ ἔδοξαν ἀναιρεῖν, ἀτοφεί φανήσονται καὶ τοῖς παχυτέροις, καὶ ἀναιρεθήσονται κατ' αὐτὸν ὁ σῶμα. θέσις γὰρ ἔσται μόνη τῇ σωμάτων. καὶ τετάρτην δὲ ἐνίστασιν ἤδη ἐπάγει, πρὸς ἐκεῖνον ἅπαντῶν ὁν λόγον, ὃν λέγονται, ὃν δὲ ἄδρα καὶ ὁ ὕδωρ καὶ τἄλλα μεγέθει καὶ σμικρότητι διέκεινον. εἰ γὰρ ὑξ ἀλλήλων φασὶ ταῦτα γίνεσθαι, καὶ τῷ μεγέθει καὶ τῇ σμικρότητι τῇ ἀτόμων ἀλλήλων αὐτὰ διαφέρειν, ἀνάγκη δῆλον αὐτὸν ἐναντία ἑαυτοῖς λέγειν. οὐ γὰρ συμφωνεῖ ταῦτα ἀλλήλοις. εἰ γὰρ ἐκ τὸ ὕδατος πρὸ γῆν φασι γίνεσθαι, τῇ ἐν τῷ ὕδατι μειζόνων διακεινομένων, ἐπειδὴ δυνατόν ποτε ἀπὸ τὸ ὕδατος πασῶν τῇ μειζόνων ἀποκεκειμένων, μὴ ἀπὸ τὸ ἄδρος ὁμοίως ὠδὶ λείπειν πρὸ τῇ μειζόνων ἀπόκεισιν, ἀπολείψει καὶ ἡ τῆς γῆς ἐκ τὸ ὕδατος, καὶ ἡ τὸ ὕδατος ἐκ τὸ ἄδρος γένεσις. ὡς ἐν αἱ τι ὕδωρ, ἀφ' οὗ οὐκ οἷόν τε πρὸ γῆν γένεσθαι, καὶ ἄδρα, ὑξ οὗ οὐκέτι ὕδωρ γένοιτ' ἂν. ἐναντία δὴ φασιν αὐτοὶ ἑαυτοῖς, καὶ ὑξ ἀλλήλων λέγοντες ταῦτα γίνεσθαι, καὶ διαφέρειν μεγέθει καὶ σμικρότητι τῇ στοιχείων, εἰ δὲ τὰ ἐλάχιστα ἀποκεινόμενα ὠδὶ λείψει, οὐκέτι ἐκ γῆς ὕδωρ. οὐδ' ὑξ ὕδατος ἀὴρ γένοιτ' ἄν. καίτοι κ' ἅπαν τὸ τὸ ὕδατος μέρος εἰς τὸν ἄδρα μεταβάλλειν ὁρῶμεν, καὶ ἅπαν τὸ τὸ ἄδρος μέρος εἰς τὸ ὕδωρ. εἰ δὲ τὸ πῦρ ἐκ μόνων τῇ σφαιρικῶν συντίθεται, τὰ δ' ἄλλα ἐκ πάντων, οὐθὲν ἄλλοτι ἐκ πυρὸς γίνοιτ' ἄν, οὐτ' ὑξ ἄλλων ἀεὶ τὸ πῦρ.

Ε'' ΤΙΟΥ ΔΕ κατὰ τὸν τούτων ὑπόληψιν δόξειεν ἂν ἄπειρα γίνεσθαι τὰ στοιχεῖα, εἴπερ τὰ μὲν σώματα, διαφέρει σχήμασι, τὰ δὲ σχήματα, πάντα συγκειται ἐκ πυραμίδων. τὰ μὲν δυθυγραμμα, ὑξ εὐθυγράμμων, ἡ δὲ σφαῖρα, ὑξ ὀκτὼ μορίων. ἀνάγκη γὰρ εἶναί τινα ταῦτ' ἀρχὰς τῇ σχημάτων. ὥστε εἴτε μίαν, εἴτε δύο, εἴτε πλείους, καὶ τὰ ἄπλα σώματα τοσαῦτα ἔσται τὸ πλήθος.

Ω'' σπερ κατὰ τὸν τὸ ἀναξαγόρου δόξαν ἐκ ἴσως ἀνάγκη λέγειν ἄπειρα στοιχεῖα, εἴπερ ἔλεγον τοῖς πάθεσιν ἀλλήλων διαφέρειν τὰς ὁμοιομερείας, λείπειν ἢ τὰ πάθη κατὰ τὰς αἰσθήσεις πεπρασμένα, ὥστε ἢ κατὰ τούτους ἀνάγκη τὰς ἀρχὰς ἀπείρους λέγειν. εἰ δ' ὅλῳ ἔσχε ἔλεγον ἀπείρους ἢ τὰς ἀτόμους. ὅτι τοῖς σχήμασι διαφέρουσι, τὰ ἢ σχήματα ἐστὶν ἄπειρα, εἰ λειχθείη τις λόγος τ' τὰ πρῶτα τ' σωμάτ' σχήματα ὡρισμένα ὑπάρχειν, δῆλον ὅτι μὴ αἱ ἀρχαὶ τ' σωμάτ' ὡρισμέναι ἔσονται. ὅτι τοίνυν τὰ σύνθετα σχήματα ὑξ ἀπλῶν σχημάτ' ὡρισμένων συντίθεται, λείπουσιν ἐκ πάντα τὰ σύνθετα τ' σωμάτ'

σχήματα συντίθεσθαι ἐκ πυραμίδων. ὥσπερ γὰρ ἐν τοῖς ἐπιπέδοις τὸ εὐθύγραμμον ἐπίπεδον εἰς τρίγωνα διαιρεῖ, μὴ ἐκ γωνιῶν συνίστασθαι, ὅτι ἀσφαλούστατον μὴ κυριώτατον τῶν ἐπιπέδων σχημάτων ἐστὶ τὸ τρίγωνον, οὕτως ἅπαν τὸ εὐθύγραμμον ἐπιπέδων περιεχόμενον στερεὸν εἰς πυραμίδας ἀναλύεται. καὶ ἔστιν ἀσφαλούστατον ἐν τοῖς στερεοῖς μὴ κυριώτατον ἡ πυραμίς. μὴ ἐκ ταύτης συντίθεσθαι καὶ εἰς ταύτην διαιρεῖται τὰ εὐθύγραμμα στερεὰ σχήματα. ἀλλὰ ἕδρᾳ μὲν ὄκτω, μὴ ὅτι ἀνάγκη τῶν συνθέτων σχημάτων ἀρχὴν εἶναι. πῶς δὲ πλὴν σφαῖραν ἐξ ὀκτὼ μορίων συντίθεσθαί φασι, μαντεῖόν ὡς ἀληθῶς ἐδεήθησαν οἱ ἐξηγητοί. καλῶς δὲ ὡς οἶμαι ἐπεσημήνατο ὁ Ἀλέξανδρος, ὅτι πάντα τὰ σώματα ἐκ πυραμίδων συντίθεσθαί φησι, τὰ μὲν εὐθύγραμμα ἐξ εὐθυγράμμων. πλὴν δὲ σφαῖραν ἐξ ὀκτὼ πυραμίδων ἐχουσῶν σφαιρικὰς βάσεις. εἰ γάρ τις μοι μὲν σφαῖραν εἰς δύο ὁείξαντας τῷ κύκλῳ, καὶ διὰ τοῦ κατὰ κορυφὴν τῆς σφαίρας δύο κύκλους τοὺς διὰ γράψαιμεν μεγίστους, πρὸς ὀρθὰς γωνίας τέμνοντες ἀλλήλους τε καὶ ἐν ὁείζονται, τῷ ἰσημβρινῷ καὶ τῷ μεσημβρινῷ ἀναλόγους, εἰς ὀκτὼ ἴσα τμήματα διαιρήσεται ἡ σφαῖρα. τούτων δ' ἕκαστον δῆλον πυραμὶς, ἐκ γωνιῶν ἰσοσκελῶν μὲν τὴν παρὰ τῷ κέντρῳ τῆς σφαίρας. βάσιν δ' ἐχόντων τετράγωνον ἰσόπλευρον. αἱ τοίνυν αἱ βάσεις αὐτῶν σφαιρικὴν ἰδέαν λάβωσιν, ἐξ ὀκτὼ τοιούτων πυραμίδων συντίθεται ἡ σφαῖρα. καὶ διὰ τοῦτο εἰπὼν ὁ Ἀριστοτέλης τὰ εὐθύγραμμα σώματα ἐξ εὐθυγράμμων πυραμίδων συντίθεσθαι, πλὴν σφαῖραν ἐξ ὀκτὼ μορίων πυραμικῶν συντίθεσθαί φησιν, ἵνα οὔτε εὐθύγραμμον ἁπλῶς, οὔτε περιφερόγραμμον λέγειν δοκῇ, οὔτε κυρίως πυραμικήν. καὶ διὰ τοῦτο ὑπέλειξε πλὴν ἀπὸ πυραμικῶν σχημάτων τῆς σφαίρας σύστασιν. ἐξ ὀκτὼ δὲ μορίων ἔφη, οὔτε εὐθυγράμμων, οὔτε σφαιρικῶν προστιθείς. τούτοις δὲ προσθήκην ἀνάγκη εἶναι τινὰς ἀρχὰς τῶν σχημάτων. ὡς εἶναι μὲν αὐτοῖς τὰ μὲν ἀσφαλῆ τὰ δὲ σώθεντα. οὐ δὲ τοῖς οὕτως ἐχθσιν τὰ ἀσφαλῆ ὄντα ἀρχαὶ τῶν συνθέτων, ὡς εἶναι μίαν ἀρχὴν τῶν σχημάτων πλὴν πυραμίδα. εἴτε δὲ δύο, εἴτε πλείους λειφθεῖεν, ἀνάγκη τοσαῦτα εἶναι τῷ πλήθει τὰ πρῶτα σώματα, καὶ οὐκ ἄπειρα. ἡ δὲ εἴτε δύο εἴτε πλείω προσθήκην, ὡς φησιν ὁ Ἀλέξανδρος, ὅτι οὐ δοκεῖ αὐτῷ ἡ πυραμὶς ἀσφαλούστερον σχῆμα εἶναι τῆς σφαίρας. οὐ δὲ γὰρ τοῦ κύκλου ἡ τετράγωνον. αἱ δὲ ἀσφάλειαι αὗται κατὰ τὸ εἶδος πεπερασμένα τὰ πρῶτα σώματα λειπνύουσι. τὰ δὲ κατ' εἶδος πεπερασμένα, καὶ κατ' ἀριθμὸν ἀνάγκη πεπερασμένα εἶναι. εἰ γὰρ τῶν εἰδῶν ὁ ἀριθμὸς ὢν ἄπειρός ἐστιν, ἔσται τὰ ὑπ' ἄλλοις εἴδεσιν ἔξω τοῦ ἀπείρου. ὅπερ ἐστὶν ἀδύνατον, πρότερον γὰρ τοῦ ἀπείρου οὐκ ἔστι.

Ε΄ ΤΙ ΔΕ ἐὰν ἐνῇ τις οἰκεία κίνησις, καὶ ἡ τοῦ ἀσωμάτου ἀσωμάτῳ, μή ἐστι δὲ αἱ ἀσωμάτοι κινήσεις ἄπειροι, διὰ τὸ μήτε τὰς ἀσωμάτους φορὰς πλείους εἶναι δυοῖν, μήτε τοὺς τόπους ἀπείρους, οὐκ ἂν εἴη οὐδ' οὕτως ἄπειρα τὰ στοιχεῖα. ἐπεὶ δὲ ἀνάγκη πεπεράνθαι, λοιπὸν σκέψασθαι πότερον πλείω ἔσται ἢ ἓν. ἓν μὲν γὰρ οὐκ ἐνδέχεται, καὶ τούτων, οἱ μὲν ὕδωρ, οἱ δὲ ἀέρα, οἱ δὲ πῦρ. οἱ δὲ ὕδατος μὲν λεπτότερον. ἀέρος δὲ πυκνότερον. ὃ πάντες φασὶ περιέχειν τὸν οὐρανοὺς ἄπειρον ὄν.

Α΄ ναξαπένταν. διὰ πολλῶν δὲ τῶν τοιούτων τῶν λόγων τῶν εἰρημένων ἀπείρους τῷ πλήθει τὰς ἀρχὰς τῶν σωμάτων, εἴτε ὁμοιομερείας ὡς Ἀναξαγόρας, εἴτε ἀτόμους ὡς οἱ περὶ Δημόκριτον, ἐφεξῆς ἐξ ἀναπτύσσων διὰ χειρῶν, δείκνυσιν ὅτι οὐκ ἔστι δυνατὸν ἄπειρα εἶναι ἀσώματα, εἰ δὲ τοῦτο, οὐδὲ τὰ στοιχεῖα. τὰ γὰρ στοιχεῖα ἀσώματα ὄντα, διαίρεται ὄντα εἰς ἕτερα τῷ εἴδει. ὅτι τοίνυν πεπέρασται τῷ πλήθει τὰ ἀσώματα σώματα, ἀπὸ τῆς κινήσεως δείκνυσιν ὡς ἐν τῇ ἀρχῇ τοῦ πρώτου βιβλίου. εἰ γὰρ τὰ ἀσώματα σώματα κατὰ φύσιν ἀσώματος κινεῖται κινήσεις, ὅσαι εἰσὶν αἱ ἀσώματοι κινήσεις κατ' εἴδος, ἀνάγκη τοσαῦτα εἶναι καὶ τὰ ἀσώματα σώματα. εἰ τοίνυν μὴ ἄπειροι αἱ ἀσώματοι κινήσεις αἱ κατὰ τὸν οὐρανὸν, οὐδὲ τὰ ἀσώματα σώματα ἄπειρα τῷ πλήθει. εἰ δὲ τὰ ἀσώματα σώματα κατὰ φύσιν ἀσώματος κινεῖται κινήσεις, ὅσαι εἰσὶν αἱ ἀσώματοι κινήσεις κατ' εἴδος, ἀνάγκη τοσαῦτα εἶναι καὶ τὰ ἀσώματα σώματα. εἰ τοίνυν μὴ ἄπειροι αἱ ἀσώματοι κινήσεις αἱ κατὰ τὸν οὐρανὸν, οὐ δὲ τὰς πλείους δυοῖν, ἐπεὶ φορᾶι τῶν σωμάτων ἀσώματοι δύο φαίνεται, ἡ μὲν ἄνω, ἡ δὲ κάτω, καὶ οἱ τόποι πρὸς οὓς αἱ ἀσώματοι κινήσεις οὐκ ἄπειροι, ἀλλὰ δύο ὅ τε ἄνω, καὶ ὁ κάτω, οὐκ ἂν εἶεν ἄπειρα τῷ εἴδει τὰ στοιχεῖα. ἀλλὰ δύο μόνον τὸ βαρὺ καὶ τὸ κοῦφον. λειφθέντος δὲ ὅτι ἀδύνατόν ἐστιν ἀπείρους εἶναι ἀρχὰς τῶν σωμάτων, καὶ ὅτι ἀνάγκη πεπερασμένας, εἴπερ αἱ ἀσώματοι κινήσεις πεπερασμέναι, μεταβαίνει πρὸς τοὺς λέγοντας εἶναι τὸ στοιχεῖον, πλειόνων δ' ὄντων, ἄλλου ἄλλό τι τὸ εἶναι λεγόντων, θαλῆς μὲν ὁ μιλήσιος καὶ ἱππων, ὕδωρ. ἐπειδὴ γὰρ ὑδατος τὰ τῶν ζώων σώματα ἐώρων, καὶ τὰς τροφὰς τῶν ζώων καὶ τῶν φυτῶν, ἀναξίμανδρος δὲ τοῦ θαλοῦ πολίτης καὶ ἑταῖρος, ἀδιόριστόν τι, τοῦ μὲν ὕδατος λεπτότερον, τοῦ δὲ ἀέρος πυκνότερον, διὰ τὸ τὸ λεγόμενον ἄπειρον εἶναι, καλῶς ἡρμοσμένον πρὸς πλῆθος εἰς ἑκάτερον μέρος μεταβάσεων. ἄπειρον δὲ πρῶτος ὑπέθετο. ἵν' ἔχῃ χρῆσθαι πρὸς τὰς γενέσεις ἀδιαλείπτως. καὶ κόσμους ἐπ' ἄπειρους οὗτος. καὶ σύμπασι τοῖς κόσμοις διὰ ἀπείρου τοιούτου στοιχείου ὑπέθετο. ἀναξιμένης δὲ ἑταῖρος τοῦ ἀναξιμάνδρου καὶ πολίτης, ἄπειρον μὲν καὶ αὐτὸς ὑπέθετο πλὴν ἀρχὴν, οὐ μὴν ἀδιόριστον, ἀέρα μὲν γὰρ ἔλεγεν εἶναι, οἰόμενος ἀρκεῖν πλὴν τοιαύτῃ τοῦ

ἀέρος ἐχθρὰν ἀλλοίωσιν πρὸς μεταβολὴν, τὸ αὐτὸ δὲ καὶ Διογένης ὁ Ἀπολλωνιάτης ὑπέθετο. Ἵππασος δὲ ὁ μεταπόντιος, καὶ Ἡράκλειτος ὁ Ἐφέσιος ἔλεγον τὸ πῦρ ἀρχὴν, πρὸς τὴν ὀρασιμότητα τῶν πυρὸς ἀπιδόντες.

Ο΄ ΣΟΙ μὲν οὖν ὑπὸ οὐδὲν ποιοῦσιν, ὕδωρ, ἢ ἀέρα, ἢ ὕδατος μὲν λεπτότερον, ἀέρος δὲ πυκνότερον εἶτ' ἐκ τούτου μανότητι καὶ πυκνότητι τἄλλα χυνῶσιν, οὗτοι λανθάνουσιν αὐτοὶ αὑτοῖς ἄλλοτι πρότερον τῶν στοιχείων ποιοῦντες. ἔστι γοῦν ἡ μὲν ἐκ τῶν στοιχείων γένεσις, συνίστησις, ὡς φασιν· ἡ δὲ εἰς τὰ στοιχεῖα, διάλυσις, ὥστ' ἀνάγκη πρότερον εἶναι τῇ φύσει τὸ λεπτομερέστερον. ἐπεὶ οὖν φασι πάντων τὴν σωμάτων τὸ πῦρ λεπτομερέστατον εἶναι, πρῶτον ἂν εἴη τῇ φύσει τὸ πῦρ. διαφέρει δ' οὐδέν. ἀνάγκη γὰρ οὖν τι τῶν ἄλλων εἶναι πρῶτον, καὶ μὴ τὸ μέσον.

Ρ΄ ρὸς δὲ τοὺς πρώτους ἅπαντας οἵτινες ἐτίθεντο τὰ μέσα στοιχεῖα, ὕδωρ, καὶ ἀέρα, καὶ τὸ μεταξὺ αὐτῶν. ἵν' ἔχωσι μανότητι καὶ πυκνότητι τἄλλα ἐκ τοῦ στοιχείου χυνᾶν, τῇ μὲν μανότητι τὰ λεπτότερα, τῇ δὲ πυκνότητι τὰ πυκνότερα. λέγει τοίνυν πρὸς αὐτοὺς ὅτι λανθάνουσιν ἑαυτούς, λέγοντες σῶμά τι πρότερον τῶν στοιχείων εἶναι, ὕδωρ δὲ ἄτοπον. οὐδὲν γὰρ οἷόν τε εἶναι πρότερον τῶν στοιχείων. ὅτι δὲ ὕδωρ παίχουσι, δῆλον. εἴπερ ἡ μὲν πυκνότης σωμάτων ἐστὶν ἡ δὲ μανότης διάλυσις. φασὶ δὲ συνίστασθαι μὲν τὰ ἐκ τῶν στοιχείων γίνεσθαι, διαλύεσθαι δὲ τὰ στοιχεῖα ἐκ τῶν συνιστάντων. ὕδωρ γοῦν μανότητι γίνεται, ἐκ τοῦ λεγομένου ὑπ' αὐτῶν στοιχείων διαλύεσθαι γίνεσθαι, ἡ δὲ διάλυσις εἰς τὰ στοιχεῖα ἀνάλυσίς ἐστιν. ὥστε τὸ μανούμενον λεπτότερον μὴ πρότερόν ἐστι τοῦ ἐκ τῆς μανώσεως γινομένου. οὐ δὲ γοῦν λεπτότερα τῇ συνιστάσει γίνεται, ἀλλὰ τῇ ἀναλύσει, ἡ δὲ ἀνάλυσις στοιχείου, καὶ ἔστιν ὁ λόγος τοιοῦτος. τὸ μανούμενον ἀναλύεται, τὸ ἀναλυόμενον εἰς στοιχεῖον ἀναλύεται. ὥστε τὰ λεπτότερα σώματα πρότερά ἐστι κατ' αὐτοὺς ἔσται μὴ στοιχεῖα μᾶλλον. εἴπερ τὸ λεπτότερον ἐκ διαλύσεως γίνεται στοιχείων. εἰ τοίνυν τὸ πῦρ ὁμολογοῦσιν εἶναι λεπτότερον τοῦ μεταξύ, μὴ τῇ μανώσει γίνεσθαι αὐτὸ ἐκ τοῦ μεταξύ, τὸ πῦρ ἀέρα μᾶλλον ἔσται στοιχεῖον κατ' αὐτούς, οὐδὲν δὲ διαφέρει φησί, μὴ εἰ μὴ πῦρ εἴη πρῶτον οὐ δὲ λεπτότερον. μὴ γοῦν οὕτως ἕπεται ἄλλό τι λέγειν λεπτότερον μὴ μᾶλλον στοιχεῖον. πρὸς δὲ ἡ ἀνάλυσις ἐστὶ τοῦ ὑποκειμένου ὑπ' αὐτῶν στοιχείου μέσου ὑπάρχοντος, μὴ τῇ μανώσει κατ' αὐτοὺς ἀναλυομένου εἰς τὸ λεπτότερον. ὅσα δὲ τῇ μανώσει γίνεται τοῦτο μᾶλλόν ἐστι στοιχεῖα.

Ε΄ ΤΙ ΔΕ΄ τὸ μὲν πυκνότητι καὶ μανότητι τἄλλα χυνᾶν, οὐδὲν διαφέρει, ἢ λεπτότητι καὶ παχύτητι. τὸ μὲν γὰρ λεπτὸν, μανόν. τὸ δὲ παχὺ βούλονται εἶναι πυκνόν. πάλιν δὲ, τὸ λεπτότητι καὶ παχύτητι ταὐτὸν καὶ τὸ μεγέθει καὶ μικρότητι. λεπτὸν μὲν γὰρ τὸ μικρομερές. παχὺ δὲ τὸ μεγαλομερές. τὸ γὰρ ἐπεκτεινόμενον ὑδὶ πολὺ, λεπτόν. τοιοῦτον δὲ τὸ ἐκ μικρῶν μερῶν συνεστὼς. ὥστ' αὐτοῖς συμβαίνει, μεγέθει καὶ μικρότητι διαιρεῖν τὴν τῶν ἄλλων οὐσίαν. οὕτω δὲ διοριζομένοις, ἅπαντα συμβήσεται λέγειν πρός τι. καὶ οὐκ ἔσται ἁπλῶς. τὸ μὲν, πῦρ. τὸ δὲ ὕδωρ, τὸ δὲ ἀήρ. ἀλλὰ τὸ αὐτὸ πρὸς μὲν τόδε, πῦρ, πρὸς δέ τι ἄλλο, ἀήρ, ὅπερ συμβαίνει καὶ τοῖς ἁπλῶς μὲν τὰ στοιχεῖα λέγουσι. μεγέθει δὲ, καὶ μικρότητι διαφέρειν φάσκουσιν. ἐπεὶ γὰρ τῷ ποσῷ διώρισται ἕκαστον, ἔσται τις λόγος πρὸς ἄλληλα τῶν μεγεθῶν. ὥστε τὰ ὕδατος ἔχοντα τὸν λόγον πρὸς ἄλληλα, ἀνάγκη τὸ μὲν ἀέρα εἶναι. τὸ δὲ, πῦρ. τὸ δὲ, γῆν. τὸ δ' ὕδωρ. δεῖ τὸ συνυπάρχειν τοῖς μείζοσι τοῦ τὴν ἐλαττόνων λόγους.

Κ αἱ δὲ τοῦ τὸ ὡδὶ χείρημα ἐπάγει τοῖς ἀπὸ τῶν μέσων μανότητι καὶ πυκνότητι τἄλλα χυνῶσι, καὶ δείκνυσι τὸ ἑπόμενον αὐτοῖς ἄτοπον, δῆλον ὅτι πάντα τὰ γινόμενα ἀπὸ τοῦ παρ' αὐτοῖς στοιχείου, πρός τι λέγειν ἔσται, καὶ μὴ καθ' αὑτό, τὸ μὲν πῦρ, τὸ δὲ ὕδωρ, τὸ δὲ ἀέρα. ὅτι δὲ συμβαίνει ὄντως αὐτοῖς, συλλογίζεται οὕτως, τῇ μανότητι καὶ τῇ πυκνότητι τἄλλα χυνᾶν, οὐδὲν διαφέρει, ἢ λεπτότητι καὶ παχύτητι. εἴπερ ἀληθῶς τὸ μὲν μανὸν πυκνοῦ ἐστι, τὸ δὲ πυκνὸν παχύ. παχύτητι δὲ καὶ λεπτότητι τὰς διαφορὰς τῶν γινομένων διορίζεσθαι, ταὐτόν ἐστι, καὶ μεγέθει καὶ σμικρότητι, καὶ δῆλον ὅτι προσέθηκεν, λεπτὸν μὲν γὰρ ἐστὶ τὸ μικρομερές, παχὺ δὲ τὸ μεγαλομερές, τὸ γὰρ ὑποκεκτεταμένον φησὶν ὑδὶ πολὺ, λεπτὸν εἶναι, ὡς μὴ πολλῷ οὐσίαν ἔχον ὑπὸ αὐτῷ τόσῳ ἔχον. τοιοῦτον δὲ τὸ ἐκ μικρομερῶν συνεστάμενον. ταῦτα δὲ λέγουσιν αὐτοῖς συμβαίνει μεγέθει καὶ σμικρότητι διορίζεσθαι τὴν τῶν ἄλλων οὐσίαν, τὴν ἐκ τοῦ στοιχείου δηλονότι γινομένων. εἰ τοίνυν τὸ μέγα καὶ τὸ μικρὸν πρός τι ὡς ἐν ταῖς κατηγορίαις διώρισται, εἰ μὴ ἐν τοῖς μετὰ τὰ φυσικὰ κατὰ τὸ ποσὸν αὐτῷ θεωρῶν ὑπὸ τὴν τοῦ ποσοῦ κατηγορίαν ἀνάγει, συμβαίνει τοῖς ὕστερον διοριζομένοις πάντα τὰ γινόμενα λέγειν πρός τι καὶ μὴ εἶναι ἁπλῶς, τὸ μὲν πῦρ, τὸ δὲ ὕδωρ, τὸ δὲ ἀέρα, εἰ τὸ αὐτὸ πρὸς μὲν τόδε πῦρ, πρὸς ἄλλο δ' ἀέρα. εἰ γοῦν τὸ ὕδωρ τοσοῦτο μεῖζόν ἐστι τοῦ ἀέρος, ὅσον ἐλάττων τῆς γῆς οὐ ὕδωρ ἐστὶν, εἴη ἂν ὡς μὲν πρὸς γῆν ὕδωρ. ὡς δὲ πρὸς ἀέρα γῆ, καὶ ὁ ἀὴρ αὖθις εἰ τοσοῦτον τοῦ πυρὸς ὑπερβάλλοι, ὅσον ἐλαττοῦται τοῦ ὕδατος. πρὸς μὲν τὸ ὕδωρ ἀὴρ ἔσται, πρὸς δὲ τὸ πῦρ ὕδωρ. καὶ αὖθις εἰ ὁ ἀὴρ τοσοῦτόν ἐστιν ἐλάττων τοῦ ὕδατος, ὅσον αὐτοῦ τὸ πῦρ, ἔσται πρὸς αὐτὸ πῦρ, ἀὴρ ὢν πρὸς τὸ λεπτότερον αὐτοῦ σῶμα δηλονότι τὸ πῦρ. ὥστε τὸ αὐτὸ ἅμα ἀὴρ τε καὶ ὕδωρ ἔσται. ἀπὸ διορίζειν τὸ φησιν. ὅτι τὸ ἐκ τοσούτου

στοιχείου ἀήρ, καὶ ἐκ τοσούτου στοιχείου ὕδωρ. ἀλλ' οὐ τῷ μείζονι καὶ ἐλάττονι εἶναι τοσούτῳ τινὶ, οὐ τούτῳ ἐτίθεντο πλὴ γινομένῳ αὐτοῖς πρὸς ἄλληλα διαφορᾶ τῆς ἐκ τῶν στοιχείων. ἔωσται ὕδη κοινοῦται πλὴ δόξαν αὐτῶν τοῖς πολλοῖς δημόκριτον. οἱ τινὲς ὑπετίθεντο ἀπείρους ἀρχὰς, καὶ τῇ μικρότητι ἢ τῷ μεγέθει τὰ ἄτομον πλὴ τὰ γινομένων διαφορᾶν ὑπ' αὐτῶν αἰτιῶνται. ὡς εἴρηται πρὸ ὀλίγου. γῆν γὰρ ἢ ὕδωρ ἢ ἀέρα οὕτως ἔλεγον διαφέρειν ἀλλήλων, τῷ μὲν ἐκ μειζόνων, τὸ δὲ ὑπ' ἐλαττόνων τῶν αὐτῶν συγκεῖσται. λέγει δέ ὅτι καὶ τούτοις τὸ αὐτὸ ἔωσται. ἐπεὶ γὰρ μεγέθει ἢ σμικρότητι τὰ στοιχεῖα φασι διαφέρειν ἀλλήλων τὰ μεγέθη αὐτῶν οὐ λόγῳ τινὶ ἔσται πρὸς ἄλληλα. εἰ τοίνυν ὀλίγα μὲν πρὸς ἄλληλα λόγον τὰ μεγέθων τῶν στοιχείων, ἢ πλὴ τοσαύτην ὑποβολήν. τὸ μὲν γῆ ἐστι, τὸ δὲ ὕδωρ, τὸ δὲ ἀήρ, ὅσον αὖ εἴη σῶμα πρὸς ἄλλο σῶμα οὗ ὑποβολῇ, οὗ ᾧ τὰ τῆς γῆς στοιχεῖα πρὸς τὰ στοιχεῖα τοῦ ὕδατος ἔσται τὸ μὲν γῆ, τὸ δὲ ὕδωρ. ὥστε εἰ μὴ τὰ τοῦ ὕδατος στοιχεῖα, τοσοῦτον ὑποδέχουσι τὰ τοῦ ἀέρος στοιχείων, ὅσον ὑποδέχονται ὑπὸ τὰ στοιχείων τῆς γῆς, ἔσται τό, τε ὕδωρ γῆ, μὴ ὁ ἀὴρ ὕδωρ πρὸς ἄλληλα. ὁμοίως μὴ ἰδὶ τὰ ἄλλων. δῆλόν ἐστι δὲ φησιν οὐ πολὺ τῆς δημοκρείτου δόξης εἶναι λέγειν. ἀλλὰ πρὸς τοὺς λέγοντας τέσσαρα μὲν εἶναι τὰ στοιχεῖα, διαφέρειν δ' αὐτὰ ἀλλήλων μεγέθει μὴ σμικρότητι, μὴ ἴσως ἔχει τινὰ λόγον, εἰ πᾶν τὸ μὲν πολὺ δημόκριτον τὸ πῦρ οὐ μεγέθει μόνον ἀλλὰ καὶ σχήματι διαφέρειν φασὶν. ὁ δὲ ἀριστοτέλης κοινὸν τὸν λόγον ποιεῖται καὶ πολὺ πυρός. τὸ δὲ οὐ πάρεστιν οὐ τοῖς μείζοσι τοὺς τὰ ἐλαττόνων λόγους ἀσάφειάν τινα ποιεῖν φησὶν ὁ ἀλέξανδρος, εἴη δ' ἂν τὸ λεγόμενον τοιοῦτον, ὅτι τὸ τὰ μείζονα τινῶν ὄντα πρὸς ἄλλά τινα ἐλαττόνων ἔχειν λόγον. οὕτω γὰρ ἔχοντα, καθ' ὃ μὲν πρός τινα μειζόνων λόγον ἔχουσιν, ἔσται τινὰ τὰ μειζόνων ὡς πρὸς ἐκεῖνα. καθ' ὃ δὲ αὖθις λόγον ἐλαττόνων, ἔσται αὖθις ὡς πρὸς ἐκεῖνα τὰ ἐλαττόνων τινά. οὕτω δὴ τὸ αὐτὸ πρὸς ἄλλο μὲν ὕδωρ ἔσται, πρὸς ἄλλο δὲ γῆ, δῆλόν ἐστι δὲ φησι μὴ τοιοῦτόν τι δεῖ ταύτης τῆς λέξεως προτίθεσθαι. ἐπειδὴ οὐ τῷ μείζονι τὸ ἐλαττον πολλαμβάνεται, ἔστι γὰρ μεῖζον τὸ τοσοῦτον ὅσον τὸ ἐλαττον καὶ ἔτι, ἐλαττον δὲ τὸ τοῦ τοῦ τινος, τὸ δὲ τοσοῦτόν τι νος εἶναι, ἔστιν οὐ ἄλλῳ τινὶ σώματι εἶναι, τὸ αὐτὸ ἅμα σῶμα ἀμφοτέρους ἂν ἔχοι τοὺς λόγους, καὶ τὸν μείζονος καὶ τὸν ἐλάττονος, εἰ δ' ἅμφω τοὺς λόγους, καὶ ἅμφω ἂν εἴη τὰ σώματα. ὥστε τὸ μεῖζον καὶ ἐκ μειζόνων σῶμα εἴη ἂν ὕδωρ καὶ τὸ ὑπ' ἐλαττόνων, ἡ γῆ ἅμα ἀὴρ γῆ καὶ ὕδωρ, καὶ αὖθις τὸ ὑδωρ ὕδωρ καὶ ἀὴρ, καὶ ὁ ἀὴρ, ἀὴρ καὶ πῦρ, ὥστε ἡ γῆ καὶ πολὺ οὐ αὐτῇ τὴν μοῖραν χώσιν πρὸς ἄλληλα πάντα ἔσται, πολὺ ἔχει γὰρ τὸ ἐκ μειζόνων εἶναι τοὺς τὰ ἐλαττόνων λόγους, καὶ δίκαιον μοῖραν ἀφ' αὐτῆς ἀφελέσθαι, οὐ ἢ αὖ τις βούλεται ἀναλογία, ἢ τὸ οὐ τοῖς μείζοσι φησὶν οὐ πάρεστιν τοὺς τὴν ἐλαττόνων λόγους, οὐ πολὺ πάντων εἴρηται τὰ μειζόνων, ἀλλὰ πολὺ τὴν ἄλλων πολλῶν τῆς γῆς. ἴσον δὲ τὸ λεγόμενον, ὅτι τὸ τὰ μείζω τινῶν ἄλλων εἶναι ἐλάττω, μὴ ὅτι ταῦτα μειζόνων λόγους ἔχουσι. τὸ μὲν γὰρ ὕδωρ πρὸς πολὺ γῆν ἐλάττω λόγου ἔχει, πρὸς δὲ τὸν ἀέρα μείζω. καὶ ὁ ἀὴρ πρὸς μὲν τὸ πῦρ τὸν μείζω, πρὸς δὲ τὸ ὕδωρ τὸν ἐλάττω. ἡ δὲ γῆ πρὸς πάντα μείζω, καὶ τὸ πυρὸς ἐλάττω. τῷ οὖν ταῦτα μὴ μείζους λόγους ἔχειν καὶ ἐλάττους, ἔσται πρός τι. πρὸς μὲν τὸν ἀέρα τὸ ὕδωρ γῆ ἔσται. μείζω γὰρ λόγον ἔχει. πρὸς δὲ πολὺ γῆν ὕδωρ. τὸν ἐλάττω γὰρ λόγον ἔχει πρὸς αὐτὸν, αὖθις ὁ ἀὴρ ὡς μὲν πρὸς τὸ πῦρ γῆ δή που ἢ ὕδωρ ἔσται. πρὸς δὲ τὸ ὕδωρ ἀὴρ ἢ πῦρ. καὶ ἡνιφθεῖσα γῆ μὴ εἰ μείζων τοῦ ὕδατος ὄγκου, ὅμως γε μὴν ἄλλης τινὸς γῆς ἐλάττων ἔσται, μὴ τοσοῦτον, ὅσον αὐτὴ ἴσα μείζων τοῦ ὕδατος. οὕτω δ' ἔχων ὕδωρ ἅμα ἔσται καὶ γῆ. ταύτην τὴν ἀλεξάνδρου αὐτοῖς ῥήμασι παρέθηκα πολὺ ἑρμήνευσιν, ὅλῳ τὸν πλέον ἐμοὶ ὡς εἰκὸς ὄγκου ἀφ' αὐτῆς τὰ ἀριστοτέλους ῥήματα νοεῖν. ἐμοὶ γὰρ δοκεῖ διεξάφθαι τὸ ἰδὶ χείρημα. εἰ γὰρ ὄγκος καὶ τὸ μέγα μὴ τὸ μικρὸν πρός τι, οὐκέτι καὶ τὰ οἷς ταῦτα ὑπάρχει πρός τι ἔσται. εἰ γὰρ μὴ ὁ φίλος ὄγκος τῶν πρός τι, ὅ γε μὴν ἄνθρωπος ὧ τινι ὑπάρχει φίλου εἶναι, οὐκ ἔστι πρός τι. καὶ ἡ δυὰς ὅσον ὑποδέχει τῆς μονάδος, τοσοῦτον ὑποδέχεται ὑπὸ τῆς τριάδος, καὶ ὅμως οὐκ ἔστιν ἡ δυὰς πρὸς πολὺ τριάδα μονάς, ὥστε καὶ εἰ τὸ ὕδωρ τοσοῦτον μείζον ὄγκος τοῦ ἀέρος, ὅσον τῆς γῆς ἐλαττον, μὴ καθ' ὃ μεῖζον καὶ ἐλαττον πρός τι ἔστιν ἀλλ' οὐκέτι ὄγκος ὡς πρὸς ἀέρα γῆ. οὐδ' ἀὴρ ὡς πρὸς ὕδωρ πῦρ. εἰ καὶ τοσοῦτον μεῖζόν ὄγκος τὸ ὕδωρ τοῦ ἀέρος, ὅσον ὁ ἀὴρ τοῦ πυρός. εἰ γὰρ μὴ καθ' ὃ μεῖζον καὶ ἐλαττον πρός τι ὄγκος. ἀλλ' οὐκέτι καθ' ὃ ὕδωρ καὶ ἀὴρ. εἰ γὰρ ὡς φησιν ὁ ἀλέξανδρος, τὸ μείζονι καὶ ἐλάττονι εἶναι, τοσούτῳ τινὶ τιθεῖντο πλὴ διαφορᾶν, οὐκέτι δῆλόν ἐστιν, καὶ τὰ οἷς ὑπάρχει μείζοσι μὴ ἐλάττοσι τοσούτῳ τινὶ εἶναι, πρός τι ὄγκος. καὶ γὰρ μὴ ἡ δυὰς ὥρισται, τῷ μονάδι μεῖζον εἶναι τῆς μονάδος, καὶ ἐλάττω τῆς τριάδος. καὶ τὸ ἐπὶ τῷ τέλει εἰρημένον, ὅτι ἡνιφθεῖσα γῆ καὶ εἰ μείζων ὄγκος τοῦ ὕδατος, ὅμως ἄλλης τινὸς γῆς ἐλάττων ἔσται, καὶ τοσοῦτον ὅσον αὐτὴ ἴσα μείζων τοῦ ὕδατος, οὕτως δ' ἔχουσα, ὕδωρ ὁμοῦ ἔσται καὶ γῆ καὶ ὄγκος μοι δοκεῖ λέγεσθαι, ὡς τῆς γῆς αὐτῆς ἡνιφθείσης μείζονος τοῦ ὕδατος, καὶ οὐ τῶν στοιχείων τῆς γῆς ὑπαρχόντων μειζόνων τῶν τοῦ ὕδατος στοιχείων. τίνα δ' ἂν ἔχοι λόγον, εἰ τὸ ἡνιφθὲν μόριον τῆς γῆς, ἔστι μοί τινος μορίου ὕδατος μεῖζον, ἐλαττον δὲ μορίου τινὸς τῆς γῆς, ὅλῳ ὄγκος ὕδωρ ὁμοῦ καὶ γῆν τὸ αὐτὸ εἶναι.

Η΄ ΣΟΙ ΔἘ πῦρ λεπτότατον τιθέντες τὸ στοιχεῖον. οὐδὲν μὲν διαφθείρουσιν. ἀλλὰ δι' αὐτοῖς ἀναγκαῖον ἄλλα συμβαίνειν. οἱ μὲν γὰρ αὐτῶν, σχῆμα πυραμίδος πρὸς τῷ πυρὶ καθάπερ οἱ περὶ τὸν πυραμίδας ποιοῦντες. καὶ τούτων οἱ μὲν ἀστρολόβον λέγοντες. ὅτι τῶν μὲν σχημάτων, τμητικώτατόν ἡ πυραμίς. τῶν δὲ σωμάτων, τὸ πῦρ. οἱ δὲ κομψότερον τῷ λόγῳ προσάγοντες. ὅτι τὰ μὲν σώματα πάντα, σύγκειται ἐκ τῶν λεπτομερεστάτου. τὰ δὲ σχήματα τὰ στερεὰ, ἐκ τῆς πυραμίδος. ὥστε ἐπεὶ τῆς μὲν σωμάτων τὸ πῦρ λεπτότατον, τῆς δὲ σχημάτων ἡ πυραμὶς μικρομερέστατον ἢ πρῶτον, τὸ δὲ πρῶτον σχῆμα, τῶν πρώτου σώματος, πυραμὶς ἂν εἴη τὸ πῦρ.

Θ΄ Ἐπὶ τοὺς ὕστερον τῆς μέσων στοιχείων τεθειμένους, καὶ μανότητι καὶ πυκνότητι ἐκ τούτου τἆλλα γεννῶντας, μεταβαίνει πρὸς τὸν τὸ λεπτότατον τῆς τεσσάρων ἀπλανότητι τὸ πῦρ στοιχεῖον λέγοντας. ὧν ἓν, Ἵππασος ὁ μεταποντῖνος, ἅμα καὶ Ἡράκλειτος ὁ ἐφέσιος. οὗτοι οἷον φησιν τὸ μὲν ποιεῖν οὐ χώσει καὶ πρός τι τὰ στοιχεῖα, ἀποφθέγγουσι, καὶ εἶναι κατ' αὐτὸν τῶν στοιχείου στοιχεῖα ἄλλα δέ τινα ἄττα παῤ αὐτοῖς ἐπάγει, διαιρήσας πρότερον τοὺς δόξασ' αὐτῆς. οἱ μὲν γὰρ αὐτῆς σχῆμα προσαρμόττουσι τῷ πυρὶ, ὅπερ στοιχεῖον τίθενται. οἱ μὲν σφαῖραν, οἱ δὲ πυραμίδα λέγοντες, τῆς δὲ λεγόντων σφαῖραν οὐ μέμνηται νῦν. οἱ δὲ σχῆμα μὲν οὐδὲν προσαρμόττουσι, λεπτότατον δὲ μόνον ποιοῦσι. διαιρεῖ δὲ καὶ τὸν τὸ σχῆμα πυραμίδα τιθεμένους, εἴς τε τὸν ἀστρολόβον λέγοντας, πρὸς οὓς καὶ πρότερον ἅπαντα, καὶ εἰς τὸν κομψότερον τῷ λόγῳ προσάγοντας. λέγει τοίνυν πρὸς τὸν ἀστρολόβους. οὓς δυσφημότερον ἀστρολόβους καλεῖ, ὅτι ἀσυλλογίστως λόγῳ χρῶνται, ἐκ δυοῖν καταφατικῶν ἐν διστόχῳ σχήματι συλλογιζόμενοι οὕτως. τὸ πῦρ δραστικώτατον. ἡ πυραμὶς δραστικωτάτη. τὸ πῦρ ἄρα πυραμίς, ὅμοιοι δ' αὐτοῖς εἰσιν ὡς φησιν Ἀλέξανδρος, καὶ οἱ λέγοντες τὸ πῦρ ἐν πολλαπλασίῳ ἀναλογίᾳ. ὅτι καὶ τὸ πῦρ, καὶ τὰ τῆς πολλαπλασίου ἀναλογίας αὐξάνουσιν ἀεί. Ἴσως δὲ δεῖ ἀκριβῆ τὸν συλλογισμὸν ἐν πρώτῳ σχήματι συμπεραίνεσθαι οὕτως. ἡ πυραμὶς τῶν σχημάτων δραστικώτατον, πρέπουσα τῷ δραστικωτάτῳ τῶν σωμάτων. τοιοῦτον δὲ τὸ πῦρ, ἡ πυραμὶς ἄρα προσήκουσα τῷ πυρί. εἰ δ' ὁ συλλογισμὸς ὀρθῶς συμπεραίνει, ἀστρολόβους αὐτοὺς λόγοι λέγειν αὐτὸν, ὡς πρὸς τὸν ἐξῆς συγκείνων, οὓς κομψότερον τῷ λόγῳ ἐπάγοντας φησιν. ὅτι πρὸς ἀξιωθέντων τινῶν φυσικῶν, οὕτω τὸν συλλογισμὸν ἐν τεχνότερον ποιοῦσι. προλαμβάνουσι γὰρ ὅτι τὰ σώματα σωτίθεται ἐκ τῶν λεπτοτάτου. τὸ γὰρ λεπτότατον ἀστρολοῦ ἐστιν. ἐξ ἀστρολοῦ δὲ τὰ σωθέντα, ἧ δι' ὅτι ἢ στερεὰ σχήματα πάντα ἐκ πυραμίδων σωτίθεται. ὥστε ἡ πυραμὶς ἂν εἴη τὸ πρῶτον ἧ στερεώτατον τῶν σχημάτων, ἧ τέτον ὅπερ ὕδατον τέθεικεν, δηλονότι τὸ πρῶτον σχῆμα τῶν πρώτου σώματος εἶναι. τούτων οὕτω τεθέντων, ὅτι τὸ πῦρ ὅσι πυραμὶς συλλογίζονται οὕτως. τὸ πῦρ ὅσι τῶν σωμάτων λεπτότατον καὶ πρῶτον, τὸ τῶν σωμάτων λεπτότατον καὶ πρῶτον τῷ λεπτοτάτῳ καὶ πρώτῳ τῶν σχημάτων ἐσχημάτισται, τὸ δὲ τοιοῦτον πυραμὶς, τὸ πῦρ ἄρα πυραμὶς καὶ τὸ σχῆμα. δεῖ δὲ ζητεῖν τίνος ὅσιν αὕτη ἡ δόξα, ἡ τὸ πῦρ πυραμίδα λέγουσα δηλῶ τὸ πρῶτον εἶναι τῶν σωμάτων. ὁ μὲν γὰρ ἡράκλειτος ὁ στοιχεῖον τῶν ἄλλων λέγων τὸ πῦρ, οὐ φησι πυραμίδα εἶναι τὸ πῦρ. οἱ δὲ πυθαγόρειοι ἐκ πυραμίδων σωτίθεσθαι τὸ πῦρ λέγοντες, οὐ φασι τὸ πῦρ τῶν ἄλλων στοιχεῖον. εἴπερ καὶ αὐτό φασιν ὑπ' ἀέρος γίνεσθαι, ὥσπερ καὶ ἐκ πυρὸς ἀέρα καὶ ὕδωρ.

Ι΄ Δ΄, τοῦδὲ μὲν σχήματος, οὐδὲν ἀποφαίνονται. λεπτομερέστατον δὲ μόνον ποιοῦσιν. ἔσεσθαι ἐκτοῦ τοῦ σωτιθεμένου γίνεσθαί φασι τἆλλα, καθάπερ αὖ ἐκ μίγματος.

ΙΑ΄ Ναὶ δὰ τῆς δόξης τῶν λεγόντων τὸ πῦρ εἶναι πυραμίδα, τῶν μὲν ἀστρολόβον εἶδος, τῶν δὲ ἀκριβέστερον συλλογιζομένων, ἐφεξῆς ἐκτίθησι τὸν σῶμα μὲν οὐδὲν ἀποδιδόντας, λεπτομερέστατον δὲ μόνον λέγοντας τὸ πῦρ, ἔπειτα ἐκ τούτου σωτιθεμένου γίνεσθαι τἆλλα, ὥσπερ ἐκ μίγματος χρυσοῦ συμφυομένου καὶ συμπλουμένου. σωιζόντος γὰρ μὴ πυκνουμένου τὸ πυρὸς, τὰ παχύτερα ὑξ αὐτῶν γίνεσθαι. ἀλλ' οὐ συμμιγνυμένου τινὸς αὐτῷ, δοκεῖ δέ μοι φησιν ὁ ἀλέξανδρος, δηλῶ τούτου τὸ παραδείγματος τὸ ἄτοπον τῆς δόξης παρασιδόναι. ὡς γὰρ συμφυομένου τὸ μίγματος τὸ χρυσοῦ, παχύτερον μέν τι σῶμα ὑξ αὐτῶν γίνεται, χρυσὸς γε μὴν καὶ αὐτό. οὕτω καὶ ἐκ πυρὸς, εἰ ἔδωρ ἦν ζόπον γίνοιντ' ἂν τὰ παχύτερα σώματα, πῦρ ἂν εἴη καὶ αὐτὰ, παχύτητι καὶ μεγέθει μόνον διαφέροντα.

ΙΒ΄ Ἀμφοτέροις δὲ ταὐτὰ συμβαίνει δυσχερῆ. εἰ μὲν γὰρ ἄτομον τὸ πρῶτον σῶμα ποιήσουσι, πάλιν ἥξουσιν οἱ πρότερον εἰρημένοι λόγοι πρὸς ταύτην πλῶ ὑπόθεσιν. ἔτι οὐκ ἐνδέχεται δεῖν λέγειν βουλομένους φυσικῶς θεωρεῖν. εἰ γὰρ ἅπαν σῶμα σώματι συμβλητὸν κατὰ τὸ ποσὸν, ἔχει δὲ ἀνάλογα τὰ μεγέθη τά, τε τῶν ὁμοιομερῶν πρὸς ἄλληλα, καὶ τὰ τῶν στοιχείων. οἷον τὰ τῶν παντὸς ὕδατος, πρὸς τὸν ἅπαντα ἀέρα. καὶ τὸ στοιχείου πρὸς τὸ στοιχεῖον. ὁμοίως δὲ καὶ ὠδὶ τῶν ἄλλων. ὁ δ' ἀὴρ, ὅλεθρον τὸ ὕδατος. καὶ ὅλως τὸ λεπτομερέστερον, τὸ παχυμερεστέρου, φανερὸν ὅτι ἧ τὸ στοιχεῖον ἔλαττον ἔσται τὸ ὕδατος, ἢ τὸ ἀέρος. εἰ οὖν τὸ ἔλαττον μέγεθος οὐ πάρεστι τὸ μείζονι

διαιρετὸν

διαιρεῖν αὖ εἴη τὸ τοῦ ἀέρος στοιχεῖον. ὡσαύτως δὲ καὶ τὸ τοῦ πυρός. καὶ ὅλως τὴν λεπτομέρειαν ὁρῶν. εἰ δὲ διαιρεῖν, τοῖς μὲν σχηματίζουσι τὸ πῦρ, συμβήσεται μὴ εἶναι τὸ τοῦ πυρὸς μόριον πῦρ. ὅλως τὸ μὴ συγκεῖσθαι τὴν πυραμίδα ἐκ πυραμίδων. ἔτι δὲ μὴ πᾶν σῶμα εἶναι ἢ στοιχεῖον ἢ ἐκ στοιχείων. τὸ γὰρ μόριον τοῦ πυρὸς οὔτε πῦρ, οὔτε ἕτερον στοιχεῖον οὐδέν.

K αὐτοῖς σχηματίζουσί φησι τὸ πῦρ, καὶ τοῖς ἀσχημάτιστον λέγουσι τὰ αὐτά φησιν ἕπεσθαι δυσχερῆ. εἴπερ αὖ τὸ πρῶτον πάντων ποιοῦσι. πρὸς μὲν γὰρ τοὺς νομίζοντας αὐτὸ ἄτομον, εἴτε σχηματισμένον εἴτε ἀσχημάτιστον, ὁρῶμεν τὰ πρὸς τοὺς ὑξ ἀτόμων πάντα ποιοῦντας. δηλονότι μάχεσθαι ταῖς μαθηματικαῖς ἐπιστήμαις τοὺς λέγοντας ἄτομόν τι μέγεθος, καὶ ζόφον τινα ὑξ ἀριθμῶν ἢ ἐκ μονάδων τἆλλα γένεσθαι, καὶ ὅσα ἄλλα πρὸς ἐκείνους ἔφη. ἄτομον δὲ λέγει τὸ ὡς ἀμβρισον. ὅτι δὲ οὐκ ἐνδέχεται ἄτομον λέγειν τὸ στοιχεῖον, καὶ ὑξ ἀτόμων ποιεῖν τὴν φυσικῶν σωμάτων πᾶν γένεσιν, φυσικῶς λέγονται, δείκνυσι φυσικῶς οὕτως. εἰ τῶν σωμάτων τὰ στοιχεῖα σώματά ἐστι καὶ αὐτὰ, καὶ πᾶν σῶμα παντὶ σώματι συμβλητὸν κατὰ τὸ ποσὸν, τῷ μηδὲν εἶναι ἄσειρον σῶμα, εἴη ἂν καὶ ὁμοιομερὲς. οἷον ἀὴρ ὅλος. ὕδωρ ὅλον, γῆ ὅλη, πῦρ ὅλον, καὶ ταῦτα συμβλητὰ ἀλλήλοις, καὶ ἑπόμενα ἔχουσι ταῦτα λόγον πρὸς ἄλληλα τὸν τῆς μεγέθους, ὃν καὶ τὰ στοιχεῖα ἕξει πρὸς ἄλληλα, ὃν καὶ τὰ αὐτὰ τοιαύτης φύσεως. ἔχει δὲ τὰ σώματα οὕτως ταῦτα πρὸς ἄλληλα. τὸ λεπτότερον αὐτῶν μείζω ὄγκον ἔχειν ἢ τὸ παχυμερέστερον καὶ ὠθεῖ πολέων ἐκτείνεται. τὸ μὲν ὕδωρ μᾶλλον τῆς γῆς. ὁ ἀὴρ ὁ μᾶλλον τοῦ ὕδατος, καὶ τὸ πῦρ μᾶλλον τοῦ ἀέρος. δῆλον δὲ ὅτι οὕτως ἔχον καὶ ἐκ τῆς εἰς ἄλληλα μεταβολῆς αὐτῶν. ἐκ γὰρ ἐλάττονος κατὰ τὸν ὄγκον ὕδατος γινόμενος ἀὴρ πολλαπλάσιος γίνεται. καὶ ὠθεῖ τὴν ἄλλων τὸν αὐτὸν ζόφον, καὶ τὰ στοιχεῖα αὖρα τὴν λεπτομερεστέρων. καὶ γὰρ ταῦτα τοιαῦτα ὄντα τὴν τοιούτων γεννητικά. τὸ τοῦ πυρὸς αὖρα στοιχεῖον μείζονα τὸν ὄγκον ἔσται τὴν τοῦ ἀέρος στοιχείων. εἰ δὲ μείζον, οὐκ ἀδιαίρετον. τὸ γὰρ μεῖζον τινὸς, αὐτό τε ἔχει οὗ μείζόν ἐστι, καὶ πολλαπλασιολλῶ αὐτό. διαιρεῖται αὖρα εἰς τὸ ἴσον καὶ πολλαπλασιολλῶ αὐτό, διαιρεῖν αὖρα τὸ στοιχεῖον τοῦ πυρὸς, ἀπορήσειε δ' ἄν τις, πῶς πρότερον μὲν εἶπων, λεπτὸν μὲν εἶναι τὸ μικρομερὲς, παχὺ δὲ τὸ μεγαλομερὲς, νῦν ὁ ἀλέξανδρος ὑξηγούμενος ταῦτα οὕτως ἔφη, τὸ μὲν ἐκ διπλασίου ἀέρος ὕδωρ τὸ δὲ ἐκ τριπλασίου γῆ, πῶς οὖν τούτων πρότερον εἰρημένων, νῦν φησι τὸ στοιχεῖον ἐλαττόν ἐστι τοῦ ὕδατος ἢ τοῦ ἀέρος. ἴσως οὖν ἐκεῖ μὲν τὸ ὕδωρ ἔλεγεν μεγαλομερέστερον ἢ τὸν ἀέρα, ὅτι τῷ αὐτῷ ὄγκῳ μείζῳ ὑπάρχουσι ἔχουσι τὰ παχύτερα καὶ πυκνότερα τῶν λεπτοτέρων καὶ μανοτέρων, τὰ δὲ ὕδατα ἐλαττον τὸ τοῦ ὕδατος ἢ τὸ ἀέρος λέγει, ὅτι τῆς αὐτῆς οὐσίας οὔσης μᾶλλον συνέσταλται τὸ παχύτερον καὶ πυκνότερον τοῦ λεπτοτέρου καὶ μανοτέρου, ὡς λείκνυσιν ἢ ὑξ ὀλίγου ὕδατος γένεσις πολλοῦ ἀέρος. ἐπισημαίνεται δὲ καλῶς ὁ ἀλέξανδρος. ὅτι τὸ διελεγμένον ἐν τούτοις ὑπ' ἀριστοτέλους, δηλονότι μὴ εἶναι ἄτομον τὸ τοῦ πυρὸς στοιχεῖον, πρὸς μὲν τοὺς λέγοντας ἀρχὰς τῶν φυσικῶν σωμάτων τοὺς ἀτόμους ἢ τὰ ἐπίπεδα ἁρμόζοι ἂν. πρὸς δὲ τοὺς λέγοντας τὸ πῦρ στοιχεῖον, τοῦδε ὧν λόγος ἰών, πῶς ἂν ἁρμόζοι. καὶ λύει πάντα συστασιν λέγων, ὅτι καὶ τούτοις ἔποιτ' ἂν εἰ φαῖεν μικρά τινα εἶναι πύελα στοιχεῖα τοῦ πυρὸς. καὶ ταῦτα ἄφθαρτα. τὸ γὰρ παρ' ἡμῖν πῦρ καὶ φθείρεσθαι δοκεῖ, λεῖ δὲ τὸ στοιχεῖον ἄφθαρτον εἶναι, εἰσὶν οὖν καὶ τοῦ πυρὸς στοιχεῖα τινὰ, εἰ δὲ ὕδωρ, ἔστι δὲ καὶ τὴν ἐκ τοῦ πυρὸς γινομένων στοιχεῖά τινα, κατὰ πάντα τὸ πυρὸς μεταβολὴν καὶ ἀλλοίωσιν γινόμενα, ἕξει δή που ἀναλογίαν τὰ τοῦ πυρὸς στοιχεῖα πρὸς τὰ τὴν ἄλλων πρὸς ἄλληλα ἐπειδὴ καὶ τὰ ὑξ αὐτῶν. οὕτως ἔθηκε καὶ τὸ τοῦ πυρὸς στοιχεῖον τὸ μείζονι ὄγκῳ ἢ τὰ ἐκείνων. εἰ δὲ ταῦτα, καὶ διαιρεῖν ὡς δέλεκται ἔστιν. ὅτι δὲ τὸ τῆς παντοδαπῆς τοῦ πυρὸς ὑποθέσει ὕδωρ λείκνυσιν ἑπόμενον, τὰ ἑπόμενα ἐμφαίνει πρὸς τὰ πρότερα τὴν ἀποδεδομένων. εἰ πῶν γὰρ εἰ μὲν ἄτομον τὸ πρῶτον σῶμα ποιοῦσι, καὶ ἀδιάτων εἰς τὸ ἐναντίον τὴν τοιαύτην ὑπόθεσιν, μὴ λειχθεσ ὅτι ἀναγκη διαιρεῖν εἶναι, ἐπισωπᾶται, εἰ δὲ διαιρεῖν τὸ τοῦ πυρὸς στοιχεῖον, ὅπερ δέλεκται, τοῖς μὲν σχηματίζουσιν αὐτὸ τῇ πυραμίδι, ἕπεται τὸ τοῦ πυρὸς μόριον μὴ εἶναι πῦρ. ὅπερ ἄτοπον ὁμοιομερὲς γὰρ φαίνεται τὸ πῦρ. ἕπεται δὲ ὕδωρ, εἴπερ ἡ μὲν πυραμὶς σχῆμα τοῦ στοιχείου τοῦ πυρὸς, διαιρεῖν δὲ ὡς δέλεκται, τὰ δὲ τῆς πυραμίδος μόρια ἄμφω οὐ πυραμίδες, μὴ εἰ θάτερόν ποτε πυραμὶς γένοιτο. γίνεται οὖν τὰ μόρια τοῦ πυρὸς οὐ πῦρ. εἴπερ τὸ τῷ ἔχειν πυραμικὸν σχῆμα, τὸ τούτῳ ἴσῳ αὐτῷ τῷ πυρὶ εἶναι. δηλότερον δὲ ἄτοπον ἐπάγει τοῖς σχηματίζουσι τὸ πῦρ, δηλονότι τὸ μὴ πᾶν σῶμα ἢ στοιχεῖον εἶναι ἢ ἐκ στοιχείων. ὅπερ ἀληθὲς ἄτοπον. ὕδωρ δὲ συμβαίνει, ὅτι τὸ μόριον τῆς πυραμίδος οὔτε πυραμὶς ἔστιν ὡς εἶναι στοιχεῖον, οὔτε ἐκ πυραμίδων ὡς ἐκ στοιχείων. εἰ τοίνυν ἡ πυραμὶς πῦρ τὸ μόριον τοῦ πυρὸς οὔτε πῦρ ἔστιν, ὅτι οὐ πυραμὶς, οὐθ' ἕτερον στοιχεῖον οὐδέν, οἷον, ἀὴρ, ἢ ὕδωρ, ἢ γῆ. στοιχεῖα γὰρ ἀπλᾶ εἶναι ταῦθα τὰ σώματά φησιν εἴπερ τούτῳ μὲν ἕπεσθαι ἐκ τῆς συνθέσεως τοῦ πυρὸς ἐγίνετο. τὸ δὲ τῆς πυραμίδος μόριον τοῦ πυρὸς μόριόν ἐστι. καὶ ἄλλως δὲ ἄτοπον αὖ εἴη, τὸ τοῦ πυρὸς μόριον ἀέρα λέγειν, ἢ ὕδωρ, ἢ γῆν. ἔσται γὰρ οὕτω μόριον τοῦ στοιχείου τὰ γινόμενα ἐκ τοῦ στοιχείου, εἰ δέ τις φαίη τὸ τῆς πυραμίδος μόριον, καὶ εἰ μὴ πυραμὶς εἴη, συγκεῖσθαί γε μὲν ἐκ πυ-

